# ΤΥΠΙΚΟΝ ΑΙΩΝΙΟΝ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ (ο χορός)

1. **ΤΥΠΙΚΟΝ ΑΙΩΝΙΟΝ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ 57 ΚΥΡΙΑΚΩΝ.**

2. **Θεία Λειτουργία (ο Χορός), 20 εορτές που παίρνουν το Ευαγγέλιο όταν πέσουν Κυριακή: 1-9, 14-9, 26-9, 18-10, 16-11, 21-11, 30-11, 25-12, 1-1, 6-1, 7-1, 30-1, 2-2, 25-3, 24-6, 29-6, 30-6, 6-8, 15-8, 29-8. *(Οι εορτές που πέφτουν στο Τριώδιο ή στο Πεντηκοστάριο κάθε χρόνο έχουν άλλο τυπικό. από τον Ιούλιο μέχρι τον Ιανουάριο έχουν το ίδιο, εκτός Κυριακης).***

3. **Ο Χορός στην Θεία Λειτουργία στις εξης εορτές: Ψυχοσάββατον, Σάββατον του Λαζάρου, ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΠΕΜΠΤΗι (πρωΐ), ΤΩι ΑΓΙΩι ΚΑΙ ΜΕΓΑΛΩι ΣΑΒΒΑΤΩι (πρωΐ), Άγιος Γεώργιος με Δευτέρα Διακαινησίμου, Παρασκευή Διακαινησίμου, Πέμπτη της Αναλήψεως του Σωτηρος, Δευτέρα του Αγίου Πνεύματος, 20-7, 26-7, 27-7, 8-9, 28-10, 8-11, 9-11, 6-12, 24-12, 5-1.**
**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: *Σεπ*. 23-9, 24-9, *Οκ*. 23-10, 26-10, 28-10, *Νοέμ*. 1-11, 8-11, 11-11, 12-11, 13-11, 14-11, 25-11, *Δεκ*. 4-12, 5-12, 6-12, 9-12, 12-12, 15-12, 27-12, *Ιαν*. 11-1, 17-1, 18-1, 20-1, 25-1, 27-1, 30-1, *Φεβ*. 1-2, 10-2, 24-2, *Μάρ*. 9-3, *Απρ*. 23-4, 25-4, *Μάϊ*. 2-5, 8-5, 21-5, 25-5, *Ιούλ*. 1-7, 2-7, 5-7, 7-7, 11-7, 20-7, 25-7, 26-7, 27-7, *Αύγ*. 23-8, 31-8, *(συνολικά 47 εορτές).]***

**ΤΥΠΙΚΟΝ ΑΙΩΝΙΟΝ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ 57 ΚΥΡΙΑΚΩΝ (ο χορός), α', Σεπτέμβριος- Οκτώβριος- Νοέμβριος-Δεκέμβριος**

***Θεία Λειτουργία (ο Χορός).* Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς.../* Ἀμήν./ Κύριε ἐλέησον **(12ñ13).** /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε./Αμήν. ***στίχος α΄. ...***Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς**(3).**/.Κύριε, ελέησον **(2). /**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοι, Κύριε./ Ἀμήν. ***Στίχ. α'.*** ...Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν Ἁγίοις θαυμαστός, ή…), ψάλλοντάς σοι· Ἀλληλούϊα **(3)**. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ Μονογενὴς Υἱὸς** καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶ**ς**./ Κύριε ἐλέησον **(2). /** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε. / Ἀμήν. ***Στίχ. α΄. ...Ἀπολυτίκιον*** / ***(ἐὰν εἶναι ἕνας ἱερεύς:) ὁ α΄χορός:*** **Δεῦτε προσκυνήσωμεν ...*ΑΠΟΛΥΤΙΚΙΑ***. *(ἕνας πρακτικός τρόπος νά γνωρίζουμε πότε δέν τελοῦνται μνημόσυνα εἶναι ὅταν δέν προβλέπεται νά ψαλεῖ στή λειτουργία τό ἀπολυτίκιο τοῦ ναοῦ. Αὐτές οἱ ἡμέρες εἶναι οἱ Δεσποτικές καί Θεομητορικές ἑορτές.)*

**……**

**ΤΑ 8 ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ,**

***Ἦχος α'.*** Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

***Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

***Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος πλ. α'.*** Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν, πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε, σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

***Ἦχος πλ. β'.*** Αγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅιδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

***Ἦχος βαρύς***. Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες· καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος πλ. δ'.*** Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.

……

***[ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ.*** *Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν· καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν].*

……..

***ΚΟΝΤΑΚΙΟΝ/*** Κύριε ἐλέησον./Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**(τρίς).** Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας

τῶν αἰώνων. Ἀμήν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς./(*νε*) Δύναμις. (***αργά***)Ἅγιος ὁ Θεὸς - Ἅγιος ἰσχυρός - Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. /**ΑΠΟΣΤΟΛΟΣ/** Ἀλληλούια. Ἀλληλούια. Ἀλληλούια. / Καὶ τῷ πνεύματί σου. / Δόξα σοι, Κύριε, δόξα σοι. / ***ΕΥΑΓΓΕΛΙΟΝ/*** Δόξα σοι, Κύριε, δόξα σοι.

**……**

[***Πότε λέμε*** "Εις πολλά έτη Δέσποτα" ***στην Θεία Λειτουργία: μετά την ανάγνωση του Ευαγγελίου σύντομα και μετά το τέλος του χερουβικου ύμνου, όταν ευλογει με το σταυρό.*** **ΕΝ ΑΡΧΙΕΡΑΤΙΚΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ. Τρισάγιον. Πρωτοψάλτης**: Άγιος ο Θεός…***Λαμπαδάριος***: Άγιος ο Θεός…***Ιερό Βημα***: Άγιος ο Θεός…***Πρωτοψάλτης:*** Άγιος ο Θεός …***Ιερό Βημα***: Άγιος ο Θεός …***(σύνολο πέντε). Λαμπαδάριος***: Δόξα Πατρί…***Πρωτοψάλτης***: Και νυν…***Λαμπαδάριος:*** Άγιος Αθάνατος… **Ι*ερό Βημα***: Άγιος ο Θεός. ***(άρχεται το δύναμις του βήματος). Αρχιερεύς***: Κύριε, Κύριε επίβλεψον…..κτλ.. ***Πρωτοψάλτης***: εις πολλά έτη Δέσποτα Ἡ ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα***: Άγιος Ισχυρός. ***Αρχιερεύς*** :Κύριε, Κύριε… ***Λαμπαδάριος***: εις πολλά έτη…Ἡ ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα***: Άγιος Αθάνατος. ***Αρχιερεύς***: Επίβλεψον…***Πρωτοψάλτης***: εις πολλά έτη…Ἡ ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα*** : ελέησον ημας**.** ***Διάκονος***: ΔΥΝΑΜΙΣ…***Και οι χοροί ψάλλουν εναλλάξ το*** Δύναμις**.** ***Ιερό Βημα:*** Κύριε, σωσον τους ευσεβεις **(*τρις*)** …***σε ηχο τρίτο και ανά μία οι χοροί. Ιερό Βημα***: και επάκουσον…..(***κλείνει***).

***Φήμη Αρχιερέως εκ τρίτου…(συνήθως προηγειται εμμελής απαγγελία υπό του διακόνου και επανάληψη από Ιερό Βήμα, πρωτοψάλτη και Λαμπαδάριο).*** [Βαρθολομαίου του Παναγιωτάτου και Οικουμενικου Πατριάρχου, πολλά τα έτη./ Παϊσίου του Σεβασμιωτάτου και Θεοπροβλήτου Μητροπολίτου της Αγιωτάτης Μητροπόλεως Λέρου, Καλύμνου και Αστυπαλαίας, Υπερτίμου και Εξάρχου των Σποράδων νήσων, ημων δε πατρός και ποιμενάρχου, πολλά τα έτη] ***Κλείνει ο κύκλος με το Αποστολικό ανάγνωσμα. Σημ: Μετά τη Ανάγνωση του Ευαγγελίου ψάλλονται το*** Δόξα σοι Κύριε ***…. Και εν συνεχεία το*** εις πολλά έτη….

*Ὅσοι εἰς Χριστὸν/ ἐβαπτίσθητε, /Χριστὸν ἐνεδύσασθε, /Ἀλληλούϊα.*

*Τὸν Σταυρόν Σου / προσκυνοῦμεν Δέσποτα,/ καὶ τὴν Ἁγίαν Σου Ἀνάστασιν /δοξάζομεν.]*

**……**

[ Κύριε ἐλέησον **(γ΄) (**[8]**) (*τὴν τελευταίαν ἅπαξ)*** / Ἀμήν. / Κύριε ἐλέησον.**(**[7]**) /** Σοὶ, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον.**(**[2]**)/** Ἀμήν./Κύριε ἐλέησον **(**[2]**).]** Ἀμήν. Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν, - ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι**.** / Ἀμήν. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα **(γ΄). /** Κύριε ἐλέησον**.(**[5]**) /** Παράσχου Κύριε**(**[6]**)./**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς./Σοὶ, Κύριε./Ἀμήν./Καὶ τῷ πνεύματί σου./Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον **(*στὰ συλλείτουργα:*** Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου). / Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. **/** Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως./Καὶ μετὰ τοῦ πνεύματός σου. / Ἔχομεν πρὸς τὸν Κύριον. / Ἄξιον καὶ δίκαιον. / Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν

ὀνόματι Κυρίου. Ὡσαννὰ (ὸ) ἐν τοῖς ὑψίστοις. / Ἀμήν. / Ἀμήν. / Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὸ Θεὸς ἡμῶν. / Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. / Κύριε ἐλέησον./Καὶ πάντων καὶ πασῶν. / Ἀμήν. / Και μετά του πνεύματος σου. / [*Κύριε ἐλέησον* ***(⁵).*** *Παράσχου Κύριε* ***(⁶)]*** **ἢ Κύριε ἐλέησον(³)** / Σοί, Κύριε. / Πάτερ ἡμῶν, ὸ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. /Ἀμήν. / Καὶ τῷ πνεύματί σου. / Σοί, Κύριε. / Ἀμήν. / Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. ***Κοινωνικόν:*** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα**.** ***(ΜΝΗΜΟΣΥΝΟΝ)***/ Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὸ Ἰούδας· ἀλλ' ὡς ὸ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου./ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν./ Ἀμήν. / Κύριε ἐλέησον **(²). /** Σοί, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον. / Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος**.(*τρίς*). / (*Μετά πνευμάτων δικαίων…*)** /Κύριε ἐλέησον. / Ἀμήν. / Δόξα Πατρί… Καὶ νῦν… Κύριε ἐλέησον ***(γ΄),*** Πάτερ ἅγιε, εὐλόγησον. / Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη. **[«Τον Δεσπότην και Αρχιερέα ημών, Κύριε φύλαττε, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα»]** / Ἀμήν.

**ΑΡΤΟΚΛΑΣΙΑ.** ***I.*** Ἐλέησον ἡμᾶς, ὸ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. **(Χ.:** ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ (**γ΄)…..*Ὸ Χορός·*** Ἀμήν**.** ***Ὸ Ἱερεύς·*+** Εἰρήνη πᾶσι. ***Ὸ Χορός·*** Καὶ τῷ πνεύματί σου**.** ***Ὸ Διάκονος·*** Τὰς κεφαλὰς ἡμῶν

τῷ Κυρίῳ κλίνωμεν. ***Ὁ Χορός·*** Σοί, Κύριε. ***Ὁ Ἱερεύς·*** Δέσποτα, πολυέλεε… ***Ὁ Χορός·*** Ἀμήν. ***Ὁ Ἱερεὺς θυμιᾷ καὶ ὁ Χορὸς ψάλλει· Ἦχος πλ. α΄.*** Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη Μαρία ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη Σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν***. Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ*** <Θεοτόκε Παρθένε>, ***ψάλλεται τό·*** <Χριστὸς ἀνέστη>***. Ὁ Διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ Χορός·*** Κύριε, ἐλέησον. ***Ὁ Ἱερεύς(λαβὼν ἕναν ἄρτον καὶ εὐλογῶν αὐτόν)· +*** Κύριε, Ἰησοῦ Χριστέ,…. ***Ὁ Χορός·*** Ἀμήν***. (ἀσπασμὸς ἄρτου) Ὁ Ἱερεύς· Ἦχος βαρύς.*** Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. ***Οἱ δὲ Χοροὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ δίς.] ΑΠΟΣΤΙΧΑ (Ἢ ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ).***

****ό,τι ειναι <u>υπογραμμισμένο</u> αλλάζει ενδεχομένως από Λειτουργία σε Λειτουργία. χρειάζεται ακόμη μία σελίδα κάθε φορά - που θα έχει τον Απόστολο, τα τροπάρια, το Κοντάκιο κλπ.- και η οποία πρέπει να εκτυπώνεται μαζί με αυτήν την σελίδα, βλέπε εδω: https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες), και εδω: https://apologhtika.blogspot.com/2023/10/4.html, έχοντας την παρουσα φωτοτυπία όλοι γίνονται πρακτικοί ψάλτες!!***

***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α΄, Ἦχος β΄.***

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ***.Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ***. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ***. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄. Στίχ.***

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, (ἢ "ὁ ἐν Ἁγίοις θαυμαστός" τις καθημερινές) ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ***. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ***. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..

***Στίχ***.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…

***Ἀντίφωνον Γ' Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

**Σεπτέμβριος Θεία Λειτουργία, ΚΥΡΙΑΚΕΣ, (ο χορός)**
**ΙΑ' Ματθαίου, ΚΥΡΙΑΚΗ ΙΒ' Ματθαίου, ΙΓ' Ματθαίου, ΙΔ' Ματθαίου, ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ, 21-9 Κυριακή μετά την Ύψωσιν, *28-9* Κυριακή Α' Λουκα, Κυριακή Β' Λουκα, 26-9 Κυριακή ηχος πλ. α' ,**

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-9, 24-9,**
**παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 1-9, 14-9, 26-9**
**Σεπτέμβριος: 1, 6, 9, 13, 20, 23, 26 κατάλυσις οίνου και ελαίου.14 Σεπτεμβρίου αυστηρά νηστεία (εκτός και αν πέσει Σαββατοκύριακο, οπότε τρωμε λάδι). ΚΑΤΑΛΥΣΙΣ ΙΧΘΥΟΣ: 8-9.]**

**ΑΠΟΛΥΤΙΚΙΑ, Σεπτέμβριος**
***1-9. Ἀπολυτίκιον τῆς Ἰνδίκτου , Ἦχος β'***

**Ὁ** πάσης δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου, πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

***τῆς Θεοτόκου, Ἦχος βαρὺς***

**Χ**αῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ Λυτρωτὴς τοῦ Κόσμου· μόνη γὰρ ὑπάρχεις Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη, πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ οἰκουμένῃ.

***τοῦ Ὁσίου ἦχος α΄***

**Ὑ**πομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι, Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***ὁ α΄ χορός, Τοῦ Ναοῦ , ὁ β΄ χορός, Κοντάκιον τῆς Ἰνδίκτου (ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον) Ἦχος δ΄***

**Ὁ** τῶν αἰώνων Ποιητὴς καί Δεσπότης, Θεέ τῶν ὅλων ὑπερούσιε ὄντως, τήν ἐνιαύσιον εὐλόγησον περίοδον, σῴζων τῷ ἐλέει σου, τῷ ἀπείρῳ οἰκτίρμων, πάντας τούς λατρεύοντας, σοί τῷ μόνῳ Δεσπότῃ, καί ἐκβοῶντας φόβῳ· Λυτρωτά, εὔφορον πᾶσι **τό ἔτος χορήγησον.**

***2-9. Ἦχος δ΄ Ταχὺ προκατάλαβε***

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση, αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

**3-9.** ***Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος, Ἦχος α΄, Τοῦ λίθου σφραγισθέντος***

Τῆς ποίμνης σου θεόφρον, στερρὸς προστάτης γενόμενος, ὑπὲρ αὐτῆς ἑτοίμως τὸ σὸν αἷμα ἐξέχεας, καὶ ἀπειλὰς τῶν δυσμενῶν μὴ πτοηθείς, ἐν οὐρανοῖς νῦν ἀγάλλῃ, τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος. Δόξα τῷ ἐνισχύσαντί σε Χριστῷ· δόξα τῇ εὐψυχίᾳ σου, δόξα τῇ μαρτυρικῇ σου Ἄνθιμε καρτερότητι.

***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ', Αὐτόμελον***

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ, λάμπων τοῖς θαύμασιν· Θεόκτιστε, πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***4-9, Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος, Ἦχος δ'***

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Βαβύλα,, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***4-9. Μωϋσέως Προφήτου***

Του Προφήτου σου Μωϋσέως την μνήμην, Κύριε εορτάζοντες, δι' αυτου σε δυσωπουμεν. Σωσον τας ψυχάς ημων.

***5-9. Ἦχος δ, Κατεπλάγη Ἰωσὴφ***

Ἱερωσύνης στολισμόν, περιβαλλόμενος σοφέ, κατὰ τὸν νόμον τοῦ Θεοῦ, ὁλοκαυτώματα δεκτά, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία· καὶ γέγονας φωστήρ, καὶ θεατὴς μυστικῶν, τὰ σύμβολα ἐν σοί, τὰ τῆς χάριτος, φέρων ἐκδήλως πάνσοφε, καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ ναῷ τοῦ Θεοῦ, Χριστοῦ Προφῆτα, σὺν τῷ Προδρόμῳ, πρέσβευε σωθῆναι τάς ψυχὰς ἡμῶν.

***6-9. Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς ταξιάρχης τῶν ἄνω Δυνάμεων.

***7-9. Ἀπολυτίκιον, Ἦχος δ', Κατεπλάγη Ιωσὴφ***

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὁσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν· διὸ καὶ χαίρει ἡ σύμπασα καὶ καινουργεῖται, συγχαίρει τε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ, Αἰνέσατε αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν, Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφόν τῆς ζωῆς ἡμῶν.

***Κοντάκιον Προεόρτιον, Ἦχος γ', Ἡ Παρθένος σήμερον***

Ἡ Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄλυτος, τοῦ οὐρανίου Νυμφίου, τίκτεται, ἀπὸ τῆς στείρας

θεοβουλήτως, ὄχημα, τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γὰρ καὶ προωρίσθη, **ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς.**

***8-9. Ἀπολυτίκιον. Ἦχος δ΄.***

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

***9-9. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος β'***

Τῶν δικαίων Θεοπατόρων σου Κύριε, τὴν μνήμην ἑορτάζοντες, δι᾽ αὐτῶν σὲ δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῆς Εορτῆς, Ἦχος δ'***

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε ...

***10-9 καὶ 17-2. Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.***

Τὴν ὡραιότητα, τῆς σωφροσύνης σου, καὶ τὸ ὑπέρλαμπρον, τῆς εὐσεβείας σου, πᾶς συνετὸς κατανοῶν, ἐκπλήττεται Πουλχερία· πῶς εἰς τὰ βασίλεια, παρθενίαν ἐφύλαξας, πῶς δὲ τὸν ἀρχέκακον, ὅφιν Κόρη κατήργησας; Διὸ σὲ εὐφημοῦντες βοῶμεν· Δόξα Θεῷ τῷ ἐν Τριάδι.

**11-9.** ***Ἀπολυτίκιον, Ἦχος δ'***

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

**12-9.** Ἡ γέννησίς σου Θεοτόκε,...

**13-9.** μετά την είσοδον, το <u>αναστάσιμο</u> και:**.** ***Ἀπολυτίκιον τοῦ Σταυροῦ, Ἦχος β'***

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. Σῷζε τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου, εἰρηνεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

***Ἀπολυτίκιον τῶν Ἐγκαινίων, Ἦχος δ'***

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου Κύριε. Κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

***14-9. Ἀπολυτίκιον. Ἦχος α΄.*** Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

**15-9.** ***τοῦ Ἁγίου, Ἦχος δ Ταχὺ προκατάλαβε***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταὶς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῆς Ἑορτῆς, Ἦχος α'***

Σῶσον Κύριε τὸν λαόν σου…

***16-9. τῆς Ἁγίας, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοι· καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῆς Ἑορτῆς, Ἦχος α'***

Σῶσον Κύριε τὸν λαόν σου…

**17-9.** Σῶσον Κύριε τὸν λαόν σου…

**18-9.** Σῶσον Κύριε τὸν λαόν σου…

**19-9.** Σῶσον Κύριε τὸν λαόν σου…

***20-9. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'***

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῆς Ἑορτῆς, Ἦχος α'***

Σῶσον Κύριε τὸν λαόν σου…

**21-9.** Σῶσον Κύριε τὸν λαόν σου…

***22-9. Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος Ἦχος δ'***

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ

τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Φωκᾶ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***23-9. Ἀπολυτίκιον. Ἦχος δ΄.Ταχὺ προκατάλαβε.***

Ἡ πρῴην οὐ τίκτουσα στεῖρα, εὐφράνθητι· ἰδοὺ γὰρ συνέλαβες, ἡλίου λύχνον σαφῶς, φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν οἰκουμένην, ἀβλεψίαν νοσοῦσαν· Χόρευε Ζαχαρία, ἐκβοῶν παῤῥησίᾳ· Προφήτης τοῦ Ὑψίστου ἐστίν, ὁ μέλλων τίκτεσθαι.

**24-9. *Ἀπολυτίκιον, Ἦχος δ'***

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοὶ· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσαν σοι· Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων σῶσον τάς ψυχὰς ἡμῶν.

***25-9. Ἀπολυτίκιον, Ἦχος πλ. δ'***

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὁσία Εὐφροσύνη, τὸ πνεῦμά σου.

***26-9. Ἀπολυτίκιον. Ἦχος β΄.***

Ἀπόστολε, Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

***27-9. Ἀπολυτίκιον, Ἦχος δ',***

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν,...

***28-9. Ἀπολυτίκιον τοῦ Ὁσίου,Ἦχος πλ. δ',Αὐτόμελον***

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ, λάμπων τοῖς θαύμασιν· Ἰωάννη, πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***29-9. Ἀπολυτίκιον Ἦχος α'.***

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Κυριακέ·

νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τάς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σου πᾶσιν ἰάματα.
**30-9.** ***Ἀπολυτίκιον. Ἦχος δ΄.***
Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, ...Ἱερομάρτυς Γρηγόριε,

**ΙΑ' Ματθαίου** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ',Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον. Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
***<u>Μικρὰ Εἴσοδος.</u> , Εἰσοδικὸν, ὁ α' χορός,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός,, Ἀπολυτίκιον.Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον...
***ὁ α' χορός. Τοῦ <u>Ναοῦ</u>***
***ὁ β' χορός, Κοντάκιον Ἦχος δ' , Αὐτόμελον, (από 24-8 έως 12-9, πλήν της 31-8, 1-9, 7-9)***
Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.
**<u>Τρισάγιον</u>**. ***Ἀπόστολος, ΚΥΡΙΑΚΗ ΙΑ΄, (από την Πεντηκοστή), Προκείμενον. Ἦχος β΄***
Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
***Στίχ.*** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***9:2-12.***

Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς …

**4-9 ΚΥΡΙΑΚΗ ΙΒ' Ματθαίου *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ', ὁ Ἀναγνώστης: Στίχ. α΄.***

**Ἐ**ξομολογεῖσθαι τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ὁ β' χορός, Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω...

***<u>Μικρὰ Εἴσοδος.</u> , Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β'***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

**ὁ α' χορός**, ***Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω...

……

***4-9, Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος, Ἦχος δ'***

Καὶ τρόπων μέτοχος, …

***Ἀπολυτίκιον τοῦ Προφήτου, Ἦχος β'***

Τοῦ Προφήτου σου Μωϋσέως …

**……**

***ὁ α' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός,, Κοντάκιον Ἦχος δ' , Αὐτόμελον***

**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

***<u>Τρισάγιον</u>, Ἀπόστολος ΚΥΡΙΑΚΗ ΙΒ΄, (από την Πεντηκοστή), Προκείμενον. Ἦχος γ΄***

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε.

***Στίχ***. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***15:1-11***
Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον …

**3-9, ΙΓ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ',Στίχ.***
**Ἐ**ξομολογεῖσθαι τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
***ὁ α' χορός, Ἀπολυτίκιον.Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.
***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
**ὁ β' χορός**,***Ἀπολυτίκιον.Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, …
**<u>Μικρὰ Εἴσοδος</u>. *, Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β',***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν…
***ὁ β' χορὸς…*ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
**ὁ α' χορός**, ***Ἀπολυτίκιον.Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, …
**……**
***ὁ β' χορός,* 3-9. *Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος, Ἦχος δ΄.***
Καὶ τρόπων μέτοχος, …
***Ἀπολυτίκιον τοῦ Ὁσίου,Ἦχος πλ. δ',Αὐτόμελον***
Ταῖς τῶν δακρύων σου ῥοαῖς,…
……
***ὁ α' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός, Κοντάκιον Ἦχος δ' , Αὐτόμελον,***
**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς

τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Τρισάγιον**, ***Ἀπόστολος, ΚΥΡΙΑΚΗ ΙΓ΄,(από την Πεντηκοστή), Προκείμενον. Ἦχος δ΄***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***16:13-24***

Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, …

**ΙΔ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ΄,Στίχ.***

**Ἐ**ξομολογεῖσθαι τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος πλ. α',*** Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ὁ β' χορός,Ἀπολυτίκιον.***Τὸν συνάναρχον Λόγον Πατρὶ …

***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός ,***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

**ὁ α' χορός**, ***Ἀπολυτίκιον.***Τὸν συνάναρχον Λόγον Πατρὶ …

**……**

***6-9,, ὁ β' χορός, Ἀπολυτίκιον ὁ β' χορὸς,Ἀπολυτίκιον Ἦχος δ'***

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, …

……

***ὁ α' χορός, Τοῦ Ναοῦ, ὁ β' χορός, Κοντάκιον Ἦχος δ' , Αὐτόμελον,***

**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Τρισάγιον**, ***΄Απόστολος„ΚΥΡΙΑΚΗΣ ΙΔ΄ ΜΑΤΘΑΙΟΥ ,Προκείμενον. ΄Ηχος πλ.α΄***

Σύ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

***Στίχ.*** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Α΄21-24, Β΄ 1-4)***

Ἀδελφοί, ὁ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν …

***7*-9-2025**, **ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ (εκτός 8-12/9), ΑΝΤΙΦΩΝΑ ( τὰ Ἀρχαῖα) (ἡ ευλόγει η ψυχή μου… ἡ τα τυπικά)Ἀντίφωνον Α΄ὁ α΄ χορός΄Ηχος β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. ***ὁ α΄ χορὸς ,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. ***ὁ β΄ χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ Ἀναγνώστης: Στίχ. γ΄.*** Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. ***ὁ α΄ χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…***ὁμοῦ οἱ δύο χοροί,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. ***ὁ β΄ χορός,*** Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ Ἀναγνώστης: Στίχ. β΄***. Καὶ γὰρ ἑστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ***ὁ α΄ χορός,*** Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…

***ὁ Ἀναγνώστης: Στίχ. γ΄***. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε εἰς μακρότητα ἡμερῶν. ***ὁ β΄ χορός,*** Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…

***ὁ Ἀναγνώστης ,*** Δόξα Πατρί... ***ὁ β' χορός,*** Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος…

***Ἀντίφωνον Γ', Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον. (από αυτή την Κυριακή και μέχρι την Ε' Κυριακή των Νηστειων το αναστάσιμο απολυτίκιο αλλάζει)</u>***

***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β',***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον</u>***

……

***7-9, ὁ β' χορός, Προεόρτιον ὁ αὐτὸς , Κατεπλάγη Ἰωσὴφ***

**Ἐ**κ τῆς ῥίζης Ἰεσσαί, …

**……**

***ὁ α' χορός,*** **Τοῦ <u>Ναοῦ,</u>** ***ὁ β' χορός, Κοντάκιον Προεόρτιον Ἦχος γ' ,Ἡ Παρθένος σήμερον***

**Ἡ** Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄλυτος, τοῦ οὐρανίου Νυμφίου, τίκτεται, ἀπὸ τῆς στείρας θεοβουλήτως, ὄχημα, τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γὰρ καὶ προωρίσθη, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς.

**<u>Τρισάγιον</u>**, ***Ἀπόστολος , ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ, (Γαλ. ς΄ 11-18), Προκείμενον (ηχος της Κυριακης). Ἦχος δ',***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

**Π**ρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**Ἀ**δελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα…

**Κυριακή 8-9, προ της Υψώσεως, *ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ , Ἀντίφωνον Α', Ἦχος β',:***

Μνήσθητι Κύριε τοῦ Δαυῒδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ***. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

***Στίχ***. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

***Στίχ***. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.

***Ἀντίφωνον Β', ᾨχος β'***

***Στίχ***. Ὥμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ***. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

***Στίχ***. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ

***Στίχ***. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς ...

***Ἀντίφωνον Γ', ᾨχος δ'***

***Στίχ***. Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

**<u>μικρά είσοδος, .*Εἰσοδικὸν,ᾨχος β',*</u>**

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον</u>***

***Ἀπολυτίκιον ,ᾨχος δ' ,*** Ἡ γέννησίς σου Θεοτόκε, ...

***Κοντάκιον ,ᾨχος δ' ,Αὐτόμελον***

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου, αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι. Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Τρισάγιον. *΄Απόστολος,(Κυριακή προ της Υψώσεως),Προκείμενον. ᾨχος πλ. β΄***

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα ***6:11-18***

Ἀδελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν …

***…Εἰς τό, Ἐξαιρέτως, Κανών β', Ὠιδὴ θ', τῆς Ἑορτῆς ,ᾨχος πλ. δ' ,Ὁ Εἱρμὸς***

«Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα, ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν».
***...Κοινωνικὸν,*** Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

**ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ (8-12/9 αντίφωνα της εορτης), [12-9,απόδοσις του γενεσίου της Θεοτόκου, ...στην απόλυσι: ης το ιερόν Γενέθλιον εορτάζομεν].Ἀντίφωνον Α', ὁ α' χορὸς***
Μνήσθητι Κύριε τοῦ Δαυΐδ …
***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β'***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Ἀπολυτίκιον ,Ἦχος δ'*** ,Ἡ γέννησίς σου Θεοτόκε, ...
**Τοῦ Ναοῦ. *Κοντάκιον*,**Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου, αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι. Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.
**Τρισάγιον, *Προκείμενον.(του Μηναίου) Ἦχος πλ. β΄***
Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.
Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα ***6:11-18***
Ἀδελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν…

**13-9, ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ (εκτός 8-12/9)*ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,...
***Ἀντίφωνον Γ'Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β',***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

……

***13-9, Ἀπολυτίκιον τοῦ Σταυροῦ,Ἦχος β',*** Τὸν ζωοποιὸν Σταυρὸν …

***Ἀπολυτίκιον τῶν Ἐγκαινίων,Ἦχος δ',*** Ὡς τοῦ ἄνω στερεώματος …

……..

**Τοῦ Ναοῦ...**

***Κοντάκιον,Ἦχος δ',Ἰδιόμελον***

Ουρανός πολύφωτος η Εκκλησία, ανεδείχθη άπαντας, φωταγωγουσα τούς πιστούς, εν ω εστωτες κραυγάζομεν, Τουτον τόν οικον, στερέωσον Κύριε.

***Προκείμενον. Ἦχος πλ. β΄***

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα ***6:11-18***

Ἀδελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν…

**Κυριακή μετά την Ὑψωσιν, 21-9,** ***Ἀντίφωνον Α',Ἦχος α', Στίχ.***

Ὁ Θεός μου πρόσχες μοι, ἵνα τὶ ἐγκατέλιπές με;

Ταις πρεσβείαις της Θεοτόκου, Σωτερ, σωσον ημας.

***Στίχ***. Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

***Στίχ***. Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ.

***Στίχ***. Σὺ δὲ ἐν Ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

***Ἀντίφωνον Β',Ἦχος β'***

***Στίχ***. Ἵνα τὶ ὁ Θεὸς ἀπώσω εἰς τέλος;

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ***. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ΄ ἀρχῆς.

***Στίχ***. Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

***Στίχ***. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.

***ὁ Ἀναγνώστης,*** Δόξα Πατρί... ***ὁ β' χορός,*** Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος…

***Ἀντίφωνον Γ', Ἦχος α', Στίχ.***

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεύσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

***Στίχ***. Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλὸς ἐστι.

***Στίχ***. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός, Ἦχος β', ὁ α' χορός, Ἦχος β'***

**Ὑ**ψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιος ἐστι. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, **Ἀ**λληλούϊα.

***<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον</u>***

***Ἀπολυτίκιον τῆς Ἑορτῆς Ἦχος α'***

Σῶσον Κύριε τὸν λαόν σου…

**<u>Τοῦ Ναοῦ.</u>** ***Κοντάκιον, Ἦχος δ', Αὐτόμελον***

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἐκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

**<u>Τρισάγιον</u>**, ***Προκείμενον ἦχου Κυριακῆς, [21-9: Προκείμενον (τὸ τῆς Ὑψώσεως, διὰ τὴν Ἀπόδοσιν), ἦχος βαρὺς***

**Ὑ**ψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

***Στίχ.*** **Ὁ** Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. ]

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα, ***2:16-20.***

Ἀδελφοί, εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος…

…***Εἰς τόΕξαιρέτως, ὁ α' χορός, Ἦχος πλ.δ',***

**Ὁ** διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον, τῆς γὰρ Προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἀγνῆς Θεομήτορος, ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσι.

…***Κοινωνικόν, ὁ β' χορός, ἦχος πλ.β',*** **Ἐ**σημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. **Ἀ**λληλούϊα.

**28-*9*,Κυριακή, Α' Λουκα, *ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄., Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ',Στίχ.***
Αὔτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος.,Εἰσοδικὸν, Ἦχος β'***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι΄ Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
…….
***28-9, ὁ β' χορὸς, Ἀπολυτίκιον τοῦ Ἁγίου Ἦχος πλ.δ'***
**Τ**αῖς τῶν δακρύων σου ῥοαῖς…
……..
**Τοῦ Ναοῦ, *Κοντάκιον Ἦχος β',*** Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
**Τρισάγιον**.***ΑΠΟΣΤΟΛΟΣ (αλλάζει)***

**Κυριακή Β' Λουκα, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.***
***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄ Στίχ. α΄.***
Αὔτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β'***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…..…ψάλλοντάς σοι΄ Ἀλληλούϊα
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
……
….
***29-9. Ἀπολυτίκιον Ἦχος α'.***
Τῆς ἐρήμου πολίτης, …

……

***Τοῦ Ναοῦ, Κοντάκιον ῏Ηχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον. *Ἀπόστολος, (αλλάζει)***

***ΚΥΡΙΑΚΗ λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-9, 24-9.***

***23-9, Ἡ Σύλληψις τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου (βλέπε και 9-12) . Προκείμενον. ῏Ηχος βαρύς',***

**Στίχ**. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

***Στίχ***. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀναγνωσμα.

Κεφ. ***4:22-27***

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, …

***24-9, (βλέπε 15-8),* 15-8, *(Φιλιπ. β΄ 5-11). Προκείμενον ἦχος γ' (και 8-9)***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·

**Π**ρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**Ἀ**δελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν …

***24-9, Τῆς Μεγαλομάρτυρος, (βλέπε: ΚΥΡΙΑΚΗ ΛΓ΄, Τελώνου και Φαρισαίου, )Προκείμενον.(της 24ης-9ου) ῏Ηχος δ΄***

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

***Στίχ.*** Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα, ***3:10-15.***

**Τ**έκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, …

**Οκτώβριος Θεία Λειτουργία, ΚΥΡΙΑΚΕΣ, (ο χορός)**

***5-10*** **Κυριακή Β' Λουκα, ΚΥΡΙΑΚΗ Δ΄ΛΟΥΚΑ *(από 11-17/10),* 19-10 Κυριακή Γ' Λουκα, 26-10 ΚΥΡΙΑΚΗ Ϛ' ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ (από 30-10 έως 5-11)**

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-10, 26-10, 28-10,**
**παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 18-10**
**Κατάλυση οίνου και ελαίου, εάν οι εορτές αυτές πέσουν Τετάρτη ή Παρασκευή, Οκτώβριος: 6, 18, 23, 26, 28.]**

**ΑΠΟΛΥΤΙΚΙΑ**
**Οκτώβριος**
**1-10.** ***Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ΄***
Ἀπόστολε Ἅγιε Ἀνανία, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ΄***
Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γὰρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Ῥωμανὲ τὸ πνεῦμά σου.
***2-10. Ἀπολυτίκιον. Ἦχος δ΄.*** Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ, σὺν τῇ Ἁγίᾳ Ἰουστίνῃ, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***3-10. Ἀπολυτίκιον. Ἦχος δ΄.*** Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόῤῥητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἱερομάρτυς Διονύσιε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***4-10. Ἀπολυτίκιον, Ἦχος πλ. δ'***
Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πάσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τοῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Πάτερ Ἱερόθεε. Πρέσβευε Χριστῷ τῶ Θεῷ, σωθῆναι τὰς Ψυχὰς ἡμῶν.

**5-10.** ***Ἀπολυτίκιον, Ἦχος δ',***
Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· ...
***6-10. Ἀπολυτίκιον τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου,*** **Ἦχος γ'**
Ἀπόστολε Ἅγιε Θωμᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***7-10. Ἀπολυτίκιον τῶν Μαρτύρων, Ἦχος δ',Ταχὺ προκατάλαβε***
Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.
**8-10.** ***Ἀπολυτίκιον, Ἦχος πλ. δ',***
Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα·…
***9-10. Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ'***
Ἀπόστολε Ἅγιε Ἰάκωβε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος α', Τοῦ λίθου σφραγισθέντος***
Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε πατὴρ ἡμῶν Ἀνδρόνικε, νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχάς των πίστει προστρεχόντων σοι· Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.
**10-10.** ***Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ',***
Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, …
***11-17/10. Ἦχος πλ. δ΄.***
Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι΄ αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.
***11-10. Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ'***
Ἀπόστολε Ἅγιε Φίλιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***
Ὀρθοδοξίας Ὁδηγέ, εὐσεβίας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Θεόφανες σοφέ, ταῖς διδαχαῖς σου πάντας

ἐφώτισας, λύρα τοῦ Πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***12-10. Ἀπολυτίκιον, Ἦχος πλ. α', Τὸν συνάναρχον Λόγον***

Τῶν Ἁγίων Μαρτύρων τὰ κατορθώματα, οὐρανῶν αἱ Δυνάμεις ὑπερεθαύμασαν, ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρόν, τῇ δυνάμει τοῦ Σταυροῦ, ἀγωνισάμενοι καλῶς, ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**13-10. *Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'.***

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, …

**14-10. *Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'.***

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, …

**15-10. *Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'.***

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, …

**16-10. *τοῦ Ἁγίου, Ἦχος δ Ταχὺ προκατάλαβε***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***17-10. Ἀπολυτίκιον τοῦ Προφήτου, Ἦχος β'***

Τοῦ Προφήτου σου Ὡσηὲ τὴν μνήμην, Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Ὁσιομάρτυρος, Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὥλεσας παμμάκαρ τοῦ Σταυροῦ, αὖθις δὲ πρὸς ἄθλησιν, ἀνδρικῶς ἀπεδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει· καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, ὁσιομάρτυς Ἀνδρέα ἀοίδιμε.

***18-10. Ἀπολυτίκιον Ἦχος γ'.***

**Ἀ**πόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***19-10. Ἀπολυτίκιον τοῦ Προφήτου, Ἦχος β'***

Του Προφήτου σου Ιωήλ τήν μνήμην, ...

***Ἀπολυτίκιον τοῦ Μάρτυρος, Ἦχος δ'***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ,

***20-10. Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.***

Τῶν ὀρθοδόξων προστάτην, καὶ ἐν σαρκὶ ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν, ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ, ἀπείληφεν ἰαμάτων, τὴν ἀένναον χάριν· ῥώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται· Διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

***Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Τῆς Ἁγίας Ματρώνης..Ἦχος γ'. Τὴν ὡραιότητα.*** Χριστοῦ τοῖς ἴχνεσιν, ἀκολουθήσασα, κόσμου τερπνότητα, Ὁσία ἔλιπες, καὶ ἐμιμήσω ἐν σαρκί, Ἀγγέλων τὴν πολιτείαν· ὅθεν ταῖς τοῦ Πνεύματος, δωρεαῖς κατεφαίδρυνας, τὴν ἐνεγκαμένην σε, νῆσον Χίον πανεύφημε· διὸ χαρμονικῶς ἐκβοᾷ σοι· χαίροις Ματρῶνα πανολβία.

***21-10. Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ', Αὐτόμελον***

Ταῖς τῶν δακρύων σου ῥοαῖς,... Ιλαρίων πατὴρ ἡμῶν Ὅσιε,...

***22-10. Ἀπολυτίκιον τοῦ Ἱεράρχου, Ἦχος δ'***

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω, τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια Πάτερ Ἀβέρκιε Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῶν Μαρτύρων, Ἦχος δ' Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***23-10. Ἀπολυτίκιον. Ἦχος δ΄.***

Ὡς τοῦ Κυρίου μαθητής, ἀνεδέξω Δίκαιε τὸ Εὐαγγέλιον, ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον, τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς ἱεράρχης. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**24-10. *Ἀπολυτίκιον, Ἦχος α'***

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι, Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε, δεόμεθα.

**25-10.** ***Ἀπολυτίκιον, Ἦχος πλ. δ'.***

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα·…

***26-10. Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας Πίστεως.***

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**27-10.** ***Ἀπολυτίκιον τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου, Ἦχος γ'***

Μέγαν εὕρατο ...

***Ἀπολυτίκιον τοῦ Ἁγίου Μάρτυρος Νέστορος, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Ὁ Μάρτυς σου, Κύριε,...

***28-10. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.***

**Τ**ῆς Σκέπης σου Παρθένε, ἀνυμνοῦμεν τάς χαρίτας, ἣν ὡς φωτοφόρον νεφέλην, ἐφαπλοῖς ὑπὲρ ἔννοιαν, καὶ σκέπεις τὸν λαόν σου νοερῶς, ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς. Σὲ γὰρ σκέπην καὶ προστάτιν καὶ βοηθόν, κεκτήμεθα βοῶντές σοι· Δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τῇ θείᾳ Σκέπῃ σου, δόξα τῇ πρὸς ἡμᾶς σου, προμηθείᾳ Ἄχραντε.

***Ἕτερον. Ἦχος πλ. δ', Θεοτόκε Ἀειπάρθενε.***

**Θ**εοτόκε Ἀειπάρθενε, τὴν ἁγίαν σοῦ Σκέπην, δι' ἧς περισκέπεις, τοὺς εἰς σὲ ἐλπίζοντας, κραταιὰν τῷ Ἔθνει σου καταφυγὴν ἐδωρήσω· ὅτι ὡς πάλαι καὶ νῦν θαυμαστῶς ἡμᾶς ἔσωσας, ὡς νοητὴ νεφέλη, τὸν σὸν λαὸν περιβαλοῦσα. Διὸ δυσωποῦμεν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν **τὸ μέγα ἔλεος.**

***(ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον) , Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.***

Ὥ**σ**περ νεφέλη ἀγλαῶς ἐπισκιάζουσα, τῆς Ἐκκλησίας τὰ πληρώματα Πανάχραντε, ἐν τῇ πόλει πάλαι ὤφθης τῇ Βασιλίδι. Ἀλλ' ὡς σκέπη τοῦ λαοῦ σου καὶ ὑπέρμαχος, περισκέπασον ἡμᾶς ἐκ πάσης θλίψεως, τοὺς κραυγάζοντας· **Χαῖρε Σκέπη ὀλόφωτε.**

***29-10. Ἀπολυτίκιον τῆς Μάρτυρος, Ἦχος δ', Κατεπλάγη Ἰωσὴφ***

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ, Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί, ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι· Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γὰρ ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Ἀβράμιε τὸ πνεῦμά σου.

**30-10.** ***Ἀπολυτίκιον τῶν Μαρτύρων, Ἦχος δ',Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε,...

***31-10. Ἀπολυτίκιον τῶν Ἀποστολων, Ἦχος γ'***

Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***Ἦχος δ', Ταχὺ προκατάλαβε***

Ὁ Μάρτυς σου, Κύριε,...

***5-10,*** **Κυριακή Β' Λουκα,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.***

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β'***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…...…ψάλλοντάς σοι΄ Ἀλληλούϊα

***<u>ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον</u>***

***<u>Τοῦ Ναοῦ, Κοντάκιον</u> Ἦχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον**. ***Ἀπόστολος***

**ΚΥΡΙΑΚΗ Δ΄ΛΟΥΚΑ, *ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Ζ΄ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΣΥΝΟΔΟΥ, (από 11-17/10), Κυριακή του Σπορέως, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ', Ἦχος πλ.δ΄.Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Τῶν Πατέρων Ἦχος πλ.δ'***

Ὑπερδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας, Πολυεύσπλαγχνε δόξα σοι.

**Τοῦ Ναοῦ, *Κοντάκιον Ἦχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον**. ***Ἀπόστολος, Προκείμενον Ἦχος δ', Ὠιδὴ τῶν Πατέρων (δεν αλλάζει το προκείμενον και ο στιχος).***

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

***Στίχ***. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. ***(Τίτ. Γ΄ 8-15)***

Τέκνον Τίτε, πιστὸς ὁ λόγος,…

**19-10, Κυριακή Γ' Λουκα,*Ἦχος β, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,…

***Ἀντίφωνον Γ΄, Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β'***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν….ψάλλοντάς σοι΄ Ἀλληλούϊα
***ΑΝΑΣΤΑΣΙΜΟΝ ἈπολυτίκιονΤοῦ Ναοῦ…***
***Κοντάκιον,Ἦχος β',Αὐτόμελον***
Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε,μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
**Τρισάγιον,** ***Ἀπόστολος***

**26-10, ΚΥΡΙΑΚΗ Ϛ' ΛΟΥΚΑ,** ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄, Ἦχος α΄. Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος.ΕἰσοδικὸνἮχος β'***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
……
***26-10. Ἀπολυτίκιον Ἦχος πλ. δ'***
**Ὁ** ἐπιβλέπων ἐπὶ τὴν γῆν, …
***Ἀπολυτίκιον Ἦχος γ'***
Μέγαν εὕρατο …
……..
**Τοῦ Ναοῦ,** ***Κοντάκιον Ἦχος β',***
Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων

φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον, *Ἀπόστολος, 26-10: (Β΄ Τιμ. β΄1-10).,Προκείμενον ἦχος βαρύς.***

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

***Στίχ.*** **Ε**ἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

**Π**ρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**Τ**έκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι …

**ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ (από 30-10 έως 5-11)**

***ΑΝΤΙΦΩΝΑ ( τῶν Κυριακῶν),*** …Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...

***Ἀντίφωνον Γ΄, Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος, Εἰσοδικὸν***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Ἀπολυτίκιον. αγίου (όταν έχει δοξαστικό)***

***Τοῦ Ναοῦ***

***Κοντάκιον ἮΗχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

***Τρισάγιον, Ἀπόστολος (αλλάζει)***

**Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-10, 26-10, 28-10,**

**23-10, *(βλέπε ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ).***

***Προκείμενον. ἮΗχος πλ. δ΄[ Ψαλμός 18]***

***Στίχ.*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

***Στίχ***. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***1:11-19.***
Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον τὸ …
***26-10, Ἀπόστολος (Β΄ Τιμ. β΄1-10).,Προκείμενον ἦχος βαρύς.***
**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.
***Στίχ.*** **Ε**ἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.
**Π**ρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
**Τ**έκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι…

**28-10,** ***Απόστολος τῆς Θεοτόκου (Ἑβρ.Θ' 1-7),Προκείμενον ἦχος γ'.***
**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.
***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Ἀ**δελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα …

**Νοέμβριος, Θεία Λειτουργία, ΚΥΡΙΑΚΕΣ, (ο χορός)**
**ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ 2-11-2025, (από 30-10 έως 5-11), ΚΥΡΙΑΚΗ Ζ' ΛΟΥΚΑ 9-11-2025, ΚΥΡΙΑΚΗ Η' ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ Θ' Λουκα 23-11-2025, ΚΥΡΙΑΚΗ ΙΓ΄ΛΟΥΚΑ**

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 1-11, 8-11, 11-11, 12-11, 13-11, 14-11, 25-11 παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 16-11, 21-11, 30-11**
**ΚΑΤΑΛΥΣΙΣ ΙΧΘΥΟΣ: 14-11, 21-11, κατάλυσις οίνου και ελαίου: Νοέμβριος: 1, 8, 12, 13, 16, 25, 30. ]**

**ΑΠΟΛΥΤΙΚΙΑ**
**Νοέμβριος**
**1-11.** ***Ἀπολυτίκιον, Ἦχος πλ. δ'.*** Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.
**2-11.** ***Ἀπολυτίκιον, Ἦχος β'.*** Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ πνεύματα ὑμων· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε.

Αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

**3-11.** ***Ἀπολυτίκιον τῶν Μαρτύρων Ἦχος δ' Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου Ἦχος δ'***

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**4-11.** ***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***

Ταῖς τῶν δακρύων σου ῥοαῖς,τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, Ἰωαννίκιε, Πατὴρ ἡμῶν Ὅσιε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῶν ἁγίων Ἱερομαρτύρων, Ἦχος δ'***

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος,τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Νίκανδρε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**5-11.** ***Ἀπολυτίκιον τῶν Μαρτύρων Ἦχος δ' Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν…

***6-11. Ἀπολυτίκιον, Ἦχος γ' Αὐτόμελον***

Θείας πίστεως ὁμολογία, ἄλλον Παῦλόν σε τῇ Ἐκκλησίᾳ, ζηλωτὴν ἐν ἱερεῦσιν ἀνέδειξε. Συνεκβοᾷ σοι καὶ Ἄβελ πρὸς Κύριον, καὶ Ζαχαρίου τὸ αἷμα τὸ δίκαιον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***7-11. Ἀπολυτίκιον τῶν Μαρτύρων, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ...

***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***

Ταῖς ἐπαγρύπνοις προσευχαῖς, ἐν ὀχετοῖς δακρύων τὸν στῦλον κατέβρεχες, καὶ τοῖς ἐκ βάθων στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας ποιμήν, τοῖς προσιοῦσι νέμων συγχώρησιν, Ὅσιε Πατὴρ ἡμῶν Λάζαρε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***8-11. Ἀπολυτίκιον. Ἦχος δ΄.*** Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

**9-11.** ***Ἀπολυτίκιον Ἦχος α'.*** Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι, δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

***10-11. Ἀπολυτίκιον, Ἦχος γ'***

Απόστολοι Άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

***11-11. Ἀπολυτίκιον τοῦ Ἁγίου Μηνᾶ, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Στρατείαν κατέλιπες τὴν κοσμικήν, ἀθλητά, οὐράνιον εἵληφας τὴν κληρουχίαν, σόφε, καὶ στέφος ἀμάραντον, δόξαν ἀποδιώξας βασιλέως γηΐνου, ἄθλους δὲ διανύσας μαρτυρίου γενναίου. Διό, μεγαλομάρτυς Μηνᾶ, πρέσβευε σωθῆναι ἡμᾶς.

***Ἀπολυτίκιον Τῶν Μαρτύρων, Ἦχος δ'˛ Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, ...

***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας Διδάσκαλε καὶ σεμνότητος, τῆς Ἐκκλησίας ὁ φωστήρ, τῶν Μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Θεόδωρε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***12-11. Ἀπολυτίκιον τοῦ Ἱεράρχου, Ἦχος πλ. δ'***

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ, Ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας· Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἰωάννη Ἐλεῆμον μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'***

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Νεῖλε Πατὴρ ἡμῶν, Ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***13-11. Ἀπολυτίκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.*** Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***14-11. Ἀπολυτίκιον τοῦ Ἀποστολου, Ἦχος γ'***

Απόστολε Ἅγιε Φίλιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Μάρτυρος, Ἦχος α', Τῆς ἐρήμου πολίτης***

Τὸν λαμπρὸν γόνον Ὕδρας καὶ τῆς Ῥόδου τὸ καύχημα, καὶ Νεομαρτύρων τὸ κλέος, Κωνσταντῖνον τιμήσωμεν, ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τὴν μνήμην ἐκτελοῦντες τὴν αὐτοῦ, ἵνα λάβωμεν πλουσίαν τὴν ἀμοιβήν, παρὰ Θεοῦ κραυγάζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, καὶ ἐν ὑστέροις καιροῖς σε στεφανώσαντι.

***15-11. Ἀπολυτίκιον, Ἦχος πλ. α'***

Τὰ θαύματα τῶν Ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

***16-11. ΑΠ. ΜΑΤΘΑΙΟΥ…ἦχος γ'.*** **Ἀ**πόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***17-11. Ἀπολυτίκιον, Ἦχος πλ. δ'***

Ἐν προσευχαῖς γρηγορῶν, ταῖς τῶν θαυμάτων ἐργασίαις ἐγκαρτερῶν, ἐπωνυμίαν ἐκτήσω τὰ κατορθώματα· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ Γρηγόριε, φωτίσαι τάς ψυχὰς ἡμῶν, μὴ ποτε ὑπνώσωμεν, ἐν ἁμαρτίαις εἰς θάνατον.

**18-11.** ***Ἀπολυτίκιον Τῶν Μαρτύρων, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, …

***19-11. Ἀπολυτίκιον τοῦ Προφήτου, Ἦχος β'***

Τού Προφήτου σου Αβδιού τήν μνήμην, Κύριε, εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

***20-11. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'***

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

***Προεόρτιον, Ἦχος δ', Ταχὺ προκατάλαβε***

Χαρὰν προμνηστεύεται, σήμερον Ἄννα ἡμῖν, τῆς λύπης ἀντίθετον, καρπὸν βλαστήσασα, τὴν μόνην Ἀειπάρθενον· ἣν περ δὴ καὶ προσάγει, τὰς εὐχὰς ἐκπληροῦσα, σήμερον γηθομένη, τῷ Ναῷ τοῦ Κυρίου, ὡς ὄντως ναὸν τοῦ Θεοῦ Λόγου, καὶ Μητέρα ἀγνήν

***21-11. Ἀπολυτίκιον. Ἦχος δ'.*** Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

***22-11. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον., Ἰωὴλ Ἐδέσσης.*** **Τ**ῶν ὁσίων πατέρων τὰ κατορθώματα, ἐν ἐσχάτοις τοῖς χρόνοις, ζηλώσας ἄγιε, ἀνεδείχθης μιμητὴς τούτων Ἰάκωβε, ἐν τῇ μάνδρᾳ τοῦ Δαβίδ, τοῦ προστάτου σου σεμνέ, ποιμάνας ταύτην ἐνθέως· διὸ σὺν τούτῳ μὴ παύσῃ, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

***23-11. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'***

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ΄ ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ΄ ἡμῶν. Ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

***Ἀπολυτίκιον, Ἦχος δ'***

Σήμερον τῆς εὐδοκίας Θεοῦ …

***24-11. όπως και στις 23-11***

***25-11. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*** Τὴν πανεύφημον νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερίναν τὴν θείαν καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν· ὅτι ἐφίμωσε λαμπρῶς τοὺς κομψοὺς τῶν ἀσεβῶν, τοῦ Πνεύματος τῇ μαχαίρᾳ, καὶ νῦν ὡς Μάρτυς στεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

***26-11. Ἀπολυτίκιον τοῦ Ὁσίου Ἀλυπίου, Ἦχος α'***

Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι, Ἀλύπιε Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τοῦ Ὁσίου Νίκωνος, Ἦχος γ', Θείας πίστεως.*** Χαίρει ἔχουσα ἡ Λακεδαίμων, θείαν λάρνακα, τῶν σῶν λειψάνων, ἀναβρύουσαν πηγὰς τῶν ἰάσεων, καὶ διασῴζουσαν πάντας ἐκ θλίψεων, τοὺς σοὶ προστρέχοντας Πάτερ ἐκ πίστεως, Νίκων Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***Ἦχος γ'. Θείας πίστεως***

Στήλη ἔμψυχος, τῆς ἐγκρατείας, στῦλος ἄσειστος, τῆς Ἐκκλησίας, Στυλιανὲ ἀνεδείχθης μακάριε· ἀπὸ παιδὸς γὰρ ἀσκήσας ὡς ἄσαρκος, βρεφῶν καὶ παίδων προστάτης γεγένησαι. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**27-11.** ***Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**28-11.** ***Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, …

Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας παμμάκαρ τοῦ Σταυροῦ· αὖθις δὲ πρὸς ἄθλησιν, ἀνδρικῶς ἀπεδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς Πίστεως ξίφει, καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, Ὁσιομάρτυς ἀοίδιμε Στέφανε.

**29-11.** ***Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, …

***30-11. Ἀπολυτίκιον. Ἦχος δ΄.*** Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τὸν Δεσπότην τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**2-11-2025, ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ (από 30-10 έως 5-11),** ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ'Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…..…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
**Τοῦ Ναοῦ**
***Κοντάκιον Ἦχος β'***
Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
**Τρισάγιον**, ***Ἀπόστολος,***

***9-11-2025,*** **ΚΥΡΙΑΚΗ Ζ' ΛΟΥΚΑ**, ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,...
***Ἀντίφωνον Γ', Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…..…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
……..
***9-11, Ἀπολυτίκιον, Ἦχος α', Τῆς ἐρήμου πολίτης***
Σηλυβρίας τὸν γόνον …
**.** ……..
**Τοῦ Ναοῦ**
***Κοντάκιον Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**Τρισάγιον. *Ἀπόστολος***

[…***8-11: Κοινωνικόν.*** Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα**.]**

**ΚΥΡΙΑΚΗ Η' ΛΟΥΚΑ**, ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)***
***…Ἀντίφωνον Γ΄,Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

……
(***απολυτίκιον του αγίου της ημέρας)***
……

***Τοῦ Ναοῦ***

***Κοντάκιον Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**Τρισάγιον. Ἀπόστολος (*αλλάζει*)**

**23-11-2025, Θ' Λουκα, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, *ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)ή από 21-25/11 της εορτης: Ἀντίφωνον α΄, Ἦχος β΄, ὁ α' χορός,Στίχ. α'.***
Μέγας Κύριος καί αἰνετός σφόδρα.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ β' χορός, Στίχ. β'.*** Δεδοξασμένα ἐλαλήθη περί σοῦ ἡ πόλις τοῦ Θεοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορός, Στίχ. γ'.*** ῾ Ο Θεός ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β' χορός, Στίχ. δ'.*** Καθάπερ ἠκούσαμεν, οὕτω καί εἴδομεν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός,*** Δόξα Πατρί...***ὁ β' χορός,*** Καί νῦν... Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***῾Αντίφωνον β΄.ὁ β' χορός, ῞Ηχος ὁ αὐτός. Στίχ. α'.***
῾Ηγίασε τό σκήνωμα αὐτοῦ ὁ ῞Υψιστος.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ΑΝΑΣΤΑΣ εκ νεκρων, ψάλλοντάς Σοι· ῾Αλληλούϊα.
***ὁ α' χορός, Στίχ. β'.*** ῾ Αγιωσύνη καί μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ...
***ὁ β' χορός, Στίχ. γ'.*** Αὕτη ἡ πύλη Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ...
***ὁ α' χορός, Στίχ. δ'.*** ῞Αγιος ὁ ναός σου, θαυμαστός ἐν δικαιοσύνῃ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ...
***ὁ β' χορός,*** Δόξα Πατρὶ... ***ὁ α' χορός,*** Καὶ νῦν... ***ὁ β' χορός,*** Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ...
***῾Αντίφωνον γ΄, ὁ α' χορός, ἦχος δ΄ , Στίχ. α'.***
Τό πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν΄ Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.
***ὁ β' χορός, Στίχ. β'.*** Πᾶσα ἡ δόξα τῆς θυγατρός τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.
Σήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον...
***ὁ α' χορός, Στίχ. γ'.*** ΄Απενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.
Σήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον...
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν...ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Ἀπολυτίκιον ῞Ηχος δ'***
Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, ...

**Τοῦ Ναοῦ**

***Κοντάκιον Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**Τρισάγιον*.Απόστολος,***

**ΚΥΡΙΑΚΗ ΙΓ΄ΛΟΥΚΑ *(Η ΜΕΤΑ ΤΗΝ ΕΟΡΤΗΝ 21-25/11 της εορτης τα αντίφωνα) όχι πάντα... τότε, τα αντίφωνα των Κυριακων***

***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α΄, Ἦχος β΄.Στίχ.***

Μέγας Κύριος καί αἰνετός σφόδρα,...

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Ἀπολυτίκιον ἦχος δ΄.*** Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον…

***Κοντάκιον Ἦχος δ''Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

***ή , εάν δεν ειναι η μετά την εορτήν: Κοντάκιον, (από 26-11 έως 24-12, πλήν 9-12) Προεόρτιον τῆς Χριστοῦ Γεννήσεως.Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***

Ἡ Παρθένος σήμερον* τὸν προαιώνιον Λόγον* ἐν σπηλαίῳ ἔρχεται* ἀποτεκεῖν ἀπορρήτως.* Χόρευε, ἡ οἰκουμένη,* ἀκουτισθεῖσα·* δόξασον μετὰ ἀγγέλων* καὶ τῶν ποιμένων,* βουληθέντα ἐποφθῆναι* παιδίον νέον,* τὸν πρὸ αἰώνων Θεόν.

***Τρισάγιον.Ἀπόστολος.***

……

**ΚΥΡΙΑΚΗ ΙΓ΄ΛΟΥΚΑ**, ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), …Ἀντίφωνον Γ', Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Ἀπολυτίκιον.Ἦχος βαρύς.*** Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· …***(αλλάζει)***

***Στίχ.*** Αἰνεσάτωσαν Αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον....

**Μικρὰ Εἴσοδος.** ***Εἰσοδικὸν.*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν…ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Ἀπολυτίκιον***. Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον...

**……**

**27-11.** ***Ἀπολυτίκιον Ἦχος δ'Ταχὺ προκατάλαβε.***

Ὁ Μάρτυς σου, Κύριε, …

……

***Ἀπολυτίκιον τοῦ Ἁγίου του <u>Ναοῦ</u>,(σ.σ.του αγίου της ημέρας παραλείπεται, όταν δεν έχει δοξαστικό), Κοντάκιον Προεόρτιον τῆς Χριστοῦ Γεννήσεως.Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***

Ἡ Παρθένος σήμερον* …

**<u>Τρισάγιον</u>**.***Ἀπόστολος, (αλλάζει)***

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 1-11, 8-11, 11-11, 12-11, 13-11, 14-11, 25-11**

***1-11. Προκείμενον. Ἦχος δ΄***

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

***Στίχ***. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***12:27-13:8***

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ…

**8-11,** ***Ὁ Ἀπόστολος,Τῶν Ἀσωμάτων (Ἑβρ. β΄ 2-10).Προκείμενον ἦχος δ'***

**Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

***Στίχ.*** **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, εἰ ὁ δι΄ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, …

***11-11, (τῆς Κυριακῆς ΙΕ΄ ἑβδομάδος). Προκείμενον. Ἦχος δ' [Ψαλμός 67]***

***Στίχ.*** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
***Στίχ***. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.
Πρὸς Κορινθίους Β' Ἐπιστολῆς Παύλου τὸ Ἀναγνωσμα. ***Κεφ. 4:6-15***
Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς …

***12-11, (βλέπε ΚΥΡΙΑΚΗ ΙΗ΄από την Πεντηκοστή). Προκείμενον. Ἦχος βαρύς [Ψαλμός 115]***

***Στίχ***. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
***Στίχ***. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ ἡμῖν;
Πρὸς Β΄ Κορινθίους Ἐπιστολῆς Παύλουτὸ Ἀναγνωσμα. ***Κεφ.9: 6-11***
Ἀδελφοί, ὁ σπείρων φειδομένως, …

***13-11, Προκείμενον. Ἦχος α΄. [Ψαλμός μη΄ 48]***

***Στίχος***: Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·
***Στίχος***: Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου. ***Κεφ. 7: 26-28, 8: 1-2***
Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, …

***14-11,(ζήτει τη Ι' Κυριακή). Προκείμενον. Ἦχος πλ. δ΄,***

***Στίχ***. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
***Στίχ***. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***4:9-16***
Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους…

***25-11, Προκείμενον. Ἦχος δ',***

***Στίχ***. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
***Στίχ***. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.
Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀναγνωσμα. ***Κεφ. 3:23-29, 4:1-5***
Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν …

**Δεκέμβριος, Θεία Λειτουργία , ΚΥΡΙΑΚΕΣ, (ο χορός) : ΚΥΡΙΑΚΗ ΙΔ΄ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ Ι΄ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ ΙΑ΄ΛΟΥΚΑ, ΚΥΡΙΑΚΗ προ της Χριστου Γεννήσεως, ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ**

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 4-12, 5-12, 6-12, 9-12, 12-12, 15-12, 27-12 παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 25-12 έχουμε κατάλυση οίνου και ελαίου, εάν οι εορτές αυτές πέσουν Τετάρτη ή Παρασκευή, Δεκέμβριος: 4, 5, 6, 9, 12, 15, 17, 20. Νηστεία Χριστουγένων: Από 15 Νοεμβρίου μέχρι και 23 Δεκεμβρίου τρώμε συνέχεια λάδι εκτός Τετάρτης και Παρασκευής, εξαιρουμένων πάντοτε των περιπτώσεων όπου έχομε κατάλυση λαδιού. Από 21 Νοεμβρίου μέχρι 17 Δεκεμβρίου τρωμε ψάρι Σάββατο και Κυριακή και σε ειδικές περιπτώσεις Τρίτη και Πέμπτη. (ή τρωμε ψάρι από την αρχή μέχρι τις 17/12). αυστηρά νηστεία: Δεκ. 24 (παραμονή Χριστουγέννων).]**

**ΑΠΟΛΥΤΙΚΙΑ**
**Δεκέμβριος**
**1-12.** ***Ἀπολυτίκιο, Ἦχος β'*** Τοῦ Προφήτου σου Ναοὺμ τὴν μνήμην, Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.
***2-10.*** Τῆς Εὐβοίας τὸν γόνον, Οἰκουμένης ἀγλάϊσμα, τῆς Θεολογίας τὸν μύστην καὶ Χριστοῦ φίλον γνήσιον, Πορφύριον τιμήσωμεν, πιστοί, τὸν πλήρη χαρισμάτων ἐκ παιδός. Δαιμονῶντας γὰρ λυτροῦται, καὶ ἀσθενεῖς ἰᾶται πίστει κράζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.
***Ἀπολυτίκιο, Ἦχος β'.*** Τοῦ Προφήτου σου Ἀββακοὺμ…
**3-12.** Τοῦ Προφήτου σου Σοφονίου
***4-12. Ἀπολυτίκιον τῆς Ἁγίας. Ἦχος πλ. δ΄.*** Βαρβάραν τὴν Ἁγίαν τιμήσωμεν· ἐχθροῦ γὰρ τὰς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐῤῥύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.
***Τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.*** Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, τῶν

μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***5-12. ΑΓ. ΣΑΒΒΑ. Ἀπολυτίκιον τοῦ Ὁσίου Ἦχος πλ. δ'***

**Τ**αῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν Σάββα Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***6-12. Ἀπολυτίκιον. Ἦχος δ΄.*** Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξε σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, **Πάτερ Ἱεράρχα Νικόλαε**· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**7-12**. ...Πάτερ Ἱεράρχα **Ἀμβρόσιε**· …

**8-12.** ***Ἀπολυτίκιον, Ἦχος πλ. δ***Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γὰρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Πατάπιε τὸ πνεῦμά σου.

***9-12. Ἀπολυτικίον τῆς Ἁγίας. Ἦχος δ΄.*** Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται· τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεός, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς, ὑπισχνεῖται Θεόπαιδα, ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονώς, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**10-12.** ***Ἀπολυτίκιον, Ἦχος πλ. δ', Τὸ προσταχθὲν.***__Δι΄ ἐγκρατείας, τῶν παθῶν τὰς πυριφλέκτους, ἀπονεκρώσαντες ὀρμὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες, ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν, ὄντως θαῦμα παράδοξον! ὅτι ὀστέα γυμνά, ἐκβλύζουσιν ἰάματα. Δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

**11-12.** ***Ἀπολυτίκιον, Ἦχος α'*** Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τόν, Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι, Δανιὴλ Πατὴρ ἡμῶν, Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***(11-17/12) Κυριακή Τῶν Προπατόρων ἦχος β'.*** **Ἐ**ν πίστει τοὺς Προπάτορας ἐδικαίωσας, τὴν ἐξ Ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος Ἐκκλησίαν. Καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν, ὑπάρχει καρπός εὐκλεής, ἡ ἀσπόρως τεκοῦσά σε. Ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***12-12. Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*** Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος καὶ θαυματουργός, θεοφόρε Σπυρίδων Πατὴρ ἡμῶν· διὸ νεκρᾷ σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὅφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἀγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντας σοι Ἱερώτατε.· Δόξα τῷ σε δοξάσαντι, δόξα τῷ σε στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**13-12.** ***Ἀπολυτίκιον, Ἦχος δ', Ταχὺ προκατάλαβε*** Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἀπολυτίκιον τῆς Ἁγίας, Ἦχος δ', Κατεπλάγη Ἰωσὴφ*** Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνῄσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί, ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

**14-12.** Οἱ Μάρτυρές σου, Κύριε, ...

***15-12. Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον.*** Ἱερέων ποδήρει κατακοσμούμενος, καὶ αἱμάτων τοῖς ῥείθροις ἐπισταζόμενος, τῷ Δεσπότῃ σου Χριστῷ μάκαρ ἀνέδραμες, Ἐλευθέριε σοφέ, καθαιρέτα τοῦ Σατάν. Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

**16-12.** Του Προφήτου σου Αγγαίου ...

***17-12. Ἀπολυτίκιον τῶν Ὁσίων Παίδων καὶ Προφήτου. Ἦχος β΄.*** Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο· καὶ ὁ Προφήτης Δανιήλ, λεόντων ποιμήν, ὡς

προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.
**Ἦχος α΄.** Τῆς Ζακύνθου τὸν γόνον καὶ Αἰγίνης τὸν πρόεδρον, τὸν φρουρὸν Μονῆς τῶν Στροφάδων, Διονύσιον ἅπαντες, τιμήσωμεν συμφώνως οἱ πιστοί, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς· σαῖς λιταῖς τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας, σῶζε καὶ βοῶντας σοι· Δόξα τῷ σε δοξάσαντι Χριστῷ, δόξα τῷ σε θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.
**18-12.** Οἱ Μάρτυρές σου, Κύριε, ...
***[(18-24/12) Κυριακή πρό Χριστου Γεννήσεως, τὸ Προεόρτιον, Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*** **Ἑ**τοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ, Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου, Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.
***(εάν ειναι 24-12: Ἀπολυτίκιον Προεόρτιον Ἦχος δ', Κατεπλάγη Ἰωσὴφ***
**Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. Ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι, ἀλλ' ὡς τερπνὸν παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο, Χριστὸς γεννᾶται τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.)
***Ἀπολυτίκιον τῶν Πατέρων , Ἦχος β '***
**Μ**εγάλα τὰ τῆς Πίστεως κατορθώματα! ἐν τῇ πηγὴ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ Προφήτης Δανιήλ, λεόντων ποιμήν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν. ]
**19-12. Μ**εγάλα τὰ τῆς Πίστεως κατορθώματα! ...
***20-12. Προεόρτιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*** Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ

τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.
**21-12.** Ἑτοιμάζου Βηθλεέμ, …
***Τῆς Ἁγίας, Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*** Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.
**22-12 όπως και στις 21**
**23-12.** Ἑτοιμάζου Βηθλεέμ· …
***Ἀπολυτίκιον, Τῶν Ἁγίων, Ἦχος γ', Τὴν ὡραιότητα*** Τὴν πολυθαύμαστον Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν ἄνθη τὰ τίμια, τοὺς μαργαρίτας τοῦ Χριστοῦ, Μαρτύρων τοὺς ἀκρέμονας. Δέκα γὰρ ὑπάρχοντες, ἀριθμῷ οἱ μακάριοι, δύναμιν μυρίοπλον τῶν δαιμόνων κατῄσχυναν· διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, Μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.
**24-12.** **Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ,…
***25-12. Ἀπολυτίκιον. Ἦχος δ΄. ἑκ γ΄.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.
**26-12.** ***Κυριακή μετά Χριστου Γέννησιν, Ἦχος β'.*** **Ε**ὐαγγελίζου Ἰωσήφ, τῷ Δαυῒδ τὰ θαύματα τῷ Θεοπάτορι, Παρθένον εἶδες κυοφορήσασαν, μετὰ Μάγων προσεκύνησας, μετὰ Ποιμένων ἐδοξολόγησας΄ δι' Ἀγγέλου χρηματισθείς, ἱκέτευε Χριστὸν τὸν Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***Τῆς Ἑορτῆς.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, …
***27-12. Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἦχος δ' Ταχὺ προκατάλαβε .*** **Β**ασίλειον διάδημα, ἐστέφθη σὴ κορυφή, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων πρωτόαθλε, σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν, Αὐτὸν οὖν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
**28-12**. ***Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ'*** Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ πνεύματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν

ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε, αὐτὸν ὡς ἀγαθὸν ὑπὲρ ἡμῶν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.
***Τῆς Ἑορτῆς.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ...
**29-12.** ***14.000 Αναιρεθέντων νηπίων*** Ως θύματα δεκτά, ως νεόδρεπτα, και θεία απαρχή, και νεόθυτοι άρνες, Χριστω τω ώσπερ νήπιον, γεννηθέντι προσήχθητε, αγνά Νήπια, την του Ηρώδου κακίαν, στηλιτεύοντα, και δυσωπουντα απαύστως, υπέρ των ψυχων ημων.
***Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος α'*** Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.
***Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος πλ. δ'*** Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ καὶ πράττων ἐδίδασκες· ὑπεροράν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου. Διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Μάρκελλε τὸ πνεῦμά σου.
***Τῆς Ἑορτῆς.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ...
**30-12.** ***Ανυσίας Οσιομάρτυρος*** Οσίως ανύσασα, των αρετων την οδόν, τω Λόγω νενύμφευσαι, ω Ανυσία σεμνή, και χαίρουσα ήθλησας· αίγλη δε απαθείας, λαμπρυνθείσα Μελάνη, ήστραψας εν τω κόσμω, αρετων λαμπηδόνας· νυν ημιν ιλεουσθε, Χριστόν τον Κύριον.
***Τῆς Ἑορτῆς.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ...
**31-12.** ***Τῆς Ἑορτῆς.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ...
***Μελάνης Οσίας Της Ρωμαίας*** Καταυγασθεισα την ψυχήν φρυκτωρίαις του αναλάμψαντος ημιν εκ Παρθένου, εν αρεταις διελάμψας, πανεύφημε. Πλουτον γαρ σκορπίσασα επί γήν εφθαρμένον, εναπεθησαύρισας τον ουράνιον πλουτον και εν ασκήσει εκλάμψας φαιδρως. Όθεν Μελάνη, σε πόθω γεραίρομεν.

**1-12, ΚΥΡΙΑΚΗ ΙΔ΄ΛΟΥΚΑ *(Δεκέμβριο ή Ιανουάριο)* ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.**
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄, Ἦχος Βαρὺς. Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν, Ἦχος β'*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Ἀπολυτίκιον τοῦ Τοῦ Ναοῦ,Κοντάκιον Προεόρτιον τῆς Χριστοῦ Γεννήσεως.Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***

Ἡ Παρθένος σήμερον* τὸν προαιώνιον Λόγον* ἐν σπηλαίῳ ἔρχεται* ἀποτεκεῖν ἀπορρήτως.* Χόρευε, ἡ οἰκουμένη,* ἀκουτισθεῖσα·* δόξασον μετὰ ἀγγέλων* καὶ τῶν ποιμένων,* βουληθέντα ἐποφθῆναι* παιδίον νέον,* τὸν πρὸ αἰώνων Θεόν.

***Τρισάγιον, Ἀπόστολος,(αλλάζει),***

**7-12, ΚΥΡΙΑΚΗ Ι΄ΛΟΥΚΑ *(σημείωσις: η Ι'Κυριακή του Λουκα πέφτει πρίν την ΙΑ'). ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ΄, Ἦχος Βαρὺς. Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν, Ἦχος β'***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***

**Τοῦ Ναοῦ, *Κοντάκιον Προεόρτιον Ἦχος γ'***

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορῤῥήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

**Τρισάγιον**. ***Απόστολος, (αλλάζει),***

**14-12, ΚΥΡΙΑΚΗ ΙΑ΄ΛΟΥΚΑ,*(από 11-17/12) ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΡΟΠΑΤΟΡΩΝ, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.***

***Στίχ.***Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,...

***Ἀντίφωνον Γ΄, Ἦχος Βαρὺς. Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, Ἦχος β΄,*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Προπατόρων Ἦχος β,*** Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας, τὴν ἐξ Ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος Ἐκκλησίαν. Καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν, ὑπάρχει καρπός εὐκλεής, ἡ ἀσπόρως τεκοῦσά σε. Ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.
**Τοῦ Ναοῦ,** ***Κοντάκιον Προεόρτιον Ἦχος γ΄***
Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως, Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.
**Τρισάγιον**, ***Ἀπόστολος, Τ Η ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΡΟΠΑΤΟΡΩΝ, Προκείμενον. Ἦχος πλ. δ΄***
Εὐλογητός εἶ, Κύριε, ὁ Θεός των πατέρων ἡμῶν.
***Στίχ.*** Ὅτι δίκαιος εἶ ἐπί πᾶσαν, οἷς ἐποίησας ἡμῖν.
Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου το ανάγνωσμα **(*3:4-11)***
Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ, …

**21-12, ΚΥΡΙΑΚΗ προ της Χριστου Γεννήσεως, (από 18-24/12)** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,...
***Ἀντίφωνον Γ΄, Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***ΑΝΑΣΤΑΣΙΜΟΝ Ἀπολυτίκιον***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν,***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…..…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
…….

***Ἀπολυτίκιον Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ (από 20-23/12, προεόρτιον)***

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ, Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου, Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

……..

***Ἀπολυτίκιον τῶν Πατέρων ,Ἦχος β ',*** Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο· καὶ ὁ Προφήτης Δανιήλ, λεόντων ποιμήν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Τοῦ <u>Ναοῦ</u> *Κοντάκιον Προεόρτιον Ἦχος γ'***

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως, Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

***<u>Τρισάγιον, Ἀπόστολος, Κυριακῆς πρό τῆς Χριστοῦ Γεννήσεως, Προκείμενον</u> Ἦχος δ' Ὕμνος Τριῶν Παίδων.***

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

***Στίχ.*** Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***(Κεφ. ΙΑ', 9-10, 32-40).*** Ἀδελφοί, πίστει παρῴκησεν Ἀβραὰμ …

***28-12-*** **ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ (26-12 και σύναξις της Υπεραγίας Θεοτόκου), *Ἀντίφωνον α΄, Ἦχος β΄.* Στίχ.'.**

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.'.'*** Ἐξομολόγησις καί μεγαλοπρέπεια τό ἔργον αὐτοῦ, καί ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα τοῦ αἰῶνος

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
Δόξα Πατρὶ…Καί νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***Ἀντίφωνον Β' Ἦχος ὁ αὐτὸς.Στίχ.***
Μακάριος ἀνήρ, ὁ φοβούμενος τόν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς Σοι· Ἀλληλούϊα.
***Στίχ.*** Δυνατόν ἐν τῇ γῇ ἔσται τό σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, …
***Στίχ.*** Δόξα καί πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καί ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα τοῦ αἰῶνος.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, …
***Στίχ.*** Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ….
Δόξα Πατρί…Καὶ νῦνὶ…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος ...
***Ἀντίφωνον Γ'***
***Στίχ. α'.*** Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἄν θῶ τούς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
***Ἀπολυτίκιον Ἦχος δ'***
Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως, ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.
***Στίχ. β'.*** Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.
Ἡ Γέννησίς σου, Χριστέ ὁ Θεός ἡμῶν…
***Στίχ. γ'.*** Μετά σοῦ ἡ ἀρχή ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου.
Ἡ Γέννησίς σου, Χριστέ ὁ Θεός ἡμῶν…
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν:*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.
……

**31-12:** Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ αναστάς εκ νεκρων…ψάλλοντάς σοι, Ἀλληλούϊα.

……

***Ἀπολυτίκιον ἀναστάσιμον***

……

***απολυτίκιον Ἦχος δ'.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, …

***Ἦχος β',*** Εὐαγγελίζου Ἰωσήφ, τῷ Δαυΐδ τὰ θαύματα τῷ Θεοπάτορι, Παρθένον εἶδες κυοφορήσασαν, μετὰ Μάγων προσεκύνησας, μετὰ Ποιμένων ἐδοξολόγησας΄ δι' Ἀγγέλου χρηματισθείς, ἱκέτευε Χριστὸν τὸν Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.(όχι Κυριακη 31-12)

**Τοῦ Ναοῦ,** ***ἦχος γ',*** Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι. δι' ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

**Τρισάγιον.**

……

***Κυριακή 26-12:*** όσοι εις Χριστόν εβαπτίσθητε Χριστόν ενεδύσασθε, αλληλούια.

……

***Απόστολος, ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ, Προκείμενον. Ἦχος δ΄***

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

***Στίχ :*** Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***1:11-19***

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον …

……

***Απόστολος 27-12 του Πρωτομάρτυρος***

……

***Κυριακή 26-12, Εἰς τό, Ἐξαιρέτως, Ἦχος α'***

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων. Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ, Ῥᾴον σιωπήν, τῷ πόθῳ δὲ Παρθένε, Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους, Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ Μήτηρ σθένος, Ὅση πέφυκεν ἡ προαίρεσις δίδου.

***…Κοινωνικόν, ἦχος α΄,*** Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Ἀλληλούϊα.
***…᾽Αντί τοῦ·*** «Εἴδομεν τό φῶς…». ***Ἀπολυτίκιον. ἦχος δ᾽.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, …
……

***ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ (ΜΑΡΚΟΣ, α΄, 1-8)***
***[ΟΤΑΝ, 30, 31-12, "ΤΑΥΤΙΖΕΤΑΙ" Η ΚΥΡΙΑΚΗ «ΜΕΤΑ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ» ΜΕ ΤΗΝ ΚΥΡΙΑΚΗ «ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ», ΔΙΑΒΑΖΟΥΜΕ ΤΗΝ ΕΥΑΓΓΕΛΙΚΗ ΠΕΡΙΚΟΠΗ ΤΗΣ ΚΥΡΙΑΚΗΣ «ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ» (ΜΑΡΚΟΣ, α΄, 1-8) και τον Απόστολο: Προκείμενον. ἦχος πλ. β΄***
**Σ**ῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
***Στίχ.*** **Π**ρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.
Πρὸς Τιμόθεον Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα ***(δ᾽:5-8)***
**Τ**έκνον Τιμόθεε, νῆφε ἐν πᾶσι, …
……
***27, 28, 29, 30-12,εις το εξαιρέτως: ἦχος β᾽***
Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον,...
***…Κοινωνικόν,ὁ β᾽ χορός,ἦχος πλ.β᾽,*** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.
***…ὁ α᾽ χορός ,ἦχος β᾽,*** Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, …
……
**31-12:** ***εις το εξαιρέτως:*** Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων. Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ Σπήλαιον, θρόνον Χερουβικόν, τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὅν ἀνυμνοῦντες μεγαλύνομεν.
***…Κοινωνικόν.*** Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. * . Ἀλληλούϊα.
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ', Στίχ.*** Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν,***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***ὁ β' χορὸς, Τοῦ Ναοῦ, ὁ α' χορός, Ἦχος γ' - Ἡ Παρθένος σήμερον***
**Τ**ῆς πατρῴας, δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὃν μοι παρέδωκας πλοῦτον, ὅθεν σοι τὴν τοῦ Ἀσώτου, φωνὴν κραυγάζω. Ἥμαρτον ἐνώπιόν σου Πάτερ οἰκτίρμον, δέξαι με μετανοοῦντα, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.
**Τρισάγιον. *Ἀπόστολος, τοῦ Τριῳδίου - ΛΔ΄ Κυριακῆς, Προκείμενον καὶ Ἀλληλούϊα τοῦ ἤχου τῆς Κυριακῆς.***
**Π**ρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Α΄ Κορ. ς΄ 12-20).***
**Ἀ**δελφοί, πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει΄…

**Κυριακή της Απόκρεω, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.***
***Στίχ.***Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ', Στίχ.*** Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***

***ὁ β' χορός, Τοῦ <u>Ναοῦ</u>***
***ὁ α' χορός, Κοντάκιον ἦχος α'***
Ὅ**τ**αν ἔλθῃς ὁ Θεός, ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμωσι τὰ σύμπαντα· ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ Βήματος ἕλκῃ, καὶ βίβλοι ἀνοίγωνται, καὶ τὰ κρυπτὰ δημοσιεύωνται· τότε ῥῦσαί με, ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.
***<u>Τρισάγιον</u>, Ἀπόστολος, Προκείμενον. Ἦχος βαρὺς. (δεν αλλάζουν)***
Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
***Στίχ.*** Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθόν· ψαλμὸς τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.
**Π**ρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
***(Α΄ Κορ. η΄ 8 -13 θ΄ 1-3).***
**Ἀ**δελφοί, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· …

**17-3. (+2 αμνούς και αντίδωρα για τις Προηγιασμένες). Κυριακή της Τυροφάγου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄. Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ', Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***Μικρὰ Εἴσοδος. ὁ α' χορός, Ἦχος β', Δ***εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…***ὁ β' χορὸς…ψ***άλλοντάς σοι, Ἀλληλούϊα.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***ὁ β' χορός,Τοῦ <u>Ναοῦ</u> ὁ α' χορός ,Κοντάκιον. Ἦχος πλ. β΄.***
**Τ**ῆς σοφίας ὁδηγέ, φρονήσεως χορηγέ, τῶν ἀφρόνων παιδευτά, καὶ πτωχῶν ὑπερασπιστά, στήριξον, συνέτισον τὴν καρδίαν μου Δέσποτα. Σὺ δίδου μοι λόγον, ὁ τοῦ Πατρός Λόγος, ἰδοὺ γὰρ τὰ χείλη μου, οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι· Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.
***Τρισάγιον.Απόστολος, Προκείμενον.(ειδικό της Κυριακης) Ἦχος πλ. δ'***
**Ε**ὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

***Στίχ.*** **Γ**νωστός ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.
**Π**ρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Ῥωμ. ιγ΄ 11-ιδ΄ 4).***
**Ἀ**δελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία…

**Η ΛΙΤΑΝΕΥΣΙΣ ΤΩΝ ΙΕΡΩΝ ΕΙΚΟΝΩΝ**

***Προπορευομένων τῶν Ἱεροπαίδων μετὰ εἰκόνων καὶ θυμιατοῦ, ὁ Ἱερεὺς ἐξέρχεται τοῦ Ἱεροῦ μετὰ τοῦ Τιμίου Σταυροῦ (Ιερου Ευαγγελίου) καὶ γίνεται λιτανεία πέριξ τοῦ ἐσωτερικοῦ τοῦ Ναοῦ εἰς τέσσαρες στάσεις. Εἰς ἑκάστην γίνεται δέησις καὶ ψάλλεται τὸ Ἀπολυτίκιον. τῆς Ἑορτῆς εἰς στάσεις τέσσαρες.***

***Λαός***: Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθὲ αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ Θεὸς βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμεν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

***α΄ Ἐν τῇ Ν πλευρᾷ τελεῖται δέησις ὑπὲρ τῶν ζώντων.***

***Ἱερεύς***: Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος σου δεόμεθα σου ἐπάκουσον καὶ ἐλέησον. ***Λαός***: Κύριε, ἐλέησον (***3***)

***Ἱερεύς***: Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν. ***Λαός***: Κύριε, ***ἐλέησον (3)***

***Ἱερεύς***: Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (***Ὄνομα***) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.***Λαός:*** *Κύριε, ἐλέησον* ***(3) Ἔτι δεόμεθα ὑπὲρ τῆς Καθηγουμένης τῆς Ἱερᾶς Μονῆς ταύτης ( ) Μοναχῆς μετὰ τῆς Συνοδείας αὐτῆς.***

***Ἱερεύς***: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Λαός***: Ἀμήν. ***Λαός***: Τὴν ἄχραντον Εἰκόνα σου …

***β΄ Ἐν τῇ δυτικῇ πλευρᾷ, τελεῖται δέησις ὑπὲρ τῶν κεκοιμημένων, εὐσεβῶν Βασιλέων Ὀρθοδόξων πατριαρχῶν, Ἀρχιερέων κ.τ.λ. Ἱερεύς***: Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος σου, δεόμεθα σου, ἐπάκουσον καὶ ἐλέησον. ***Λαός***: Κύριε, ἐλέησον ***(3)***

***Ἱερεύς***: Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων σου βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων ἱερομονάχων ἱεροδιακόνων μοναχῶν καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν πατέρων προπατόρων πάππων προπάππων γονέων ἀδελφῶν καὶ συγγενῶν ἡμῶν. ***Λαός***: Αἰωνία ἡ μνήμη αὐτῶν (***3***)

***Ἱερεύς***: Ὅτι σὺ εἶ ἡ ἀνάστασις ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Λαός***: Ἀμήν. ***Λαός***: Τὴν ἄχραντον Εἰκόνα σου …

***γ΄ Ἐν τῇ Β πλευρᾷ τελεῖται δέησις ὑπὲρ τῶν ζώντων.***

***Ἱερεύς***: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος σου, δεόμεθα σου, ἐπάκουσον καὶ ἐλέησον. ***Λαός***: Κύριε, ἐλέησον ***(3)***

***Ἱερεύς***: Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν. ***Λαός***: Κύριε, ἐλέησον ***(3)***

***Ἱερεύς***: Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (***Ὄνομα***) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.***Λαός:*** *Κύριε, ἐλέησον* ***(3)*** ***Ἔτι δεόμεθα ὑπὲρ τῆς Καθηγουμένης τῆς Ἱερᾶς Μονῆς ταύτης ( ) Μοναχῆς μετὰ τῆς Συνοδείας αὐτῆς.***

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ φιλοχρίστου ἡμῶν στρατοῦ.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου ***(ἤ τῶν συνδρομητῶν, ἀνακαινιστῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Μονῆς ταύτης, τῶν ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης, τῶν εὐλαβῶν προσκυνητῶν),***

***Ἱερεύς***: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Λαός***: Ἀμήν.

***Λαός***: Τὴν ἄχραντον Εἰκόνα σου …

***δ΄ Ἐν δὲ τῇ ἀνατολικῇ πλευρᾷ τελεῖται δέησις ὑπὲρ τῶν ζώντων. Ἱερεύς***: Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος σου, δεόμεθα σου ἐπάκουσον καὶ ἐλέησον. ***Λαός***: Κύριε, ἐλέησον ***(3)***

***Ἱερεύς***: Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν (ἡ **νησον**, ΜΟΝΗΝ) ταύτην, καὶ πᾶσαν (ΜΟΝΗΝ) πόλιν καὶ χώραν, ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ Φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ΄ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς. ***Λαός***: Κύριε, ἐλέησον ***(3) Ἱερεύς***: Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. ***Λαός***: Κύριε, ἐλέησον ***(3) Ἱερεύς***: Ὅτι ἐλεήμων καὶ Φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Λαός***: Ἀμήν.

***(Ἐνταῦθα ἀναγινώσκει ὁ Ἱερεὺς τὰς ἑξῆς περικοπὰς ἐκ τοῦ Συνοδικοῦ τῆς Ζ΄ Οἰκουμενικῆς Συνόδου). Ἱερεύς***: Οἱ Προφῆται ὡς εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ Διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ Οἰκουμένη ὡς συμπεφώνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαῤῥησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν· οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς Αὐτοῦ Ἁγίους ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν Ναοῖς, ἐν Εἰκονίσμασι, τὸν μὲν ὡς Θεὸν καὶ Δεσπότην προσκυνοῦντες καὶ σέβοντες, τοὺς δὲ διὰ τὸν κοινὸν Δεσπότην ὡς Αὐτοῦ γνησίους θεράποντας τιμῶντες καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμονες. Αὕτη ἡ πίστις τῶν Ἀποστόλων, αὕτη ἡ πίστις τῶν Πατέρων, αὕτη ἡ πίστις τῶν Ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν Οἰκουμένην ἐστήριξεν. Ἐπὶ τούτοις τοὺς τῆς εὐσεβείας Κήρυκας ἀδελφικῶς τε καὶ πατροποθήτως εἰς δόξαν καὶ τιμὴν τῆς εὐσεβείας, ὑπὲρ ἧς

ἀγωνίσαντο, ἀνευφημοῦμεν καὶ λέγομεν· Τῶν τῆς Ὀρθοδοξίας προμάχων εὐσεβῶν Βασιλέων, ἁγιωτάτων Πατριαρχῶν, Ἀρχιερέων, Διδασκάλων, Μαρτύρων, Ὁμολογητῶν, Αἰωνία ἡ μνήμη. ***Λαός***: Αἰωνία ἡ μνήμη αὐτῶν ***(3) Ἱερεύς***: Τούτων τοῖς ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἄθλοις τε καὶ ἀγωνίσμασι καί διδασκαλίαις παιδαγωγεῖσθαι τε καὶ κρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες, καὶ μιμητάς τῆς ἐνθέου αὐτῶν πολιτείας μέχρι τέλους ἀναδείκνυσθαι ἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων, οἰκτιρμοῖς καὶ χάριτι τοῦ Μεγάλου καὶ Πρώτου Ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν Ἀγγέλων καὶ πάντων τῶν Ἁγίων. ***Λαός***: Ἀμήν.
***Λαός***: Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν. Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος ***(3) Λαός***: Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν. καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ μέγα ἔλεος.***( Θ. Λειτουργία)***

**Κυριακή Α' τῶν Νηστειῶν (ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ),(+2 αμνούς),** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Τὰ Ἀντίφωνα τῆς ἡμέρας. Ἀντίφωνον α΄.ὁ α' χορός Ἦχος β΄, Στίχ.***
῾Ο Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καί περιεζώσατο.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορός, Στίχ***. Καί γάρ ἐστερέωσε τήν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός, Στίχ.*** Τίς λαλήσει τάς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις Αὐτοῦ; Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β' χορός, Στίχ.*** Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός*** **.** Δόξα Πατρί... Καί νῦν...Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β΄ὁ β' χορός Ἦχος ὁ αὐτός***
***Στίχ.*** ΄Εξομολογησάσθωσαν τά ἐλέη Αὐτοῦ καὶ τὰ θαυμάσια Αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α′ χορός, Στίχ.*** Ὑψωσάτωσαν Αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς...
***ὁ β′ χορός. Στίχ.′*** Οφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος Αὐτοῦ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς...
***ὁ α′ χορός. Στίχ.*** Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς...
***ὁ β′ χορός***. Δόξα Πατρὶ... ***ὁ α′ χορός.*** Καὶ νῦν καὶ ἀεὶ...***ὁ β′ χορός.*** Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος…
***῾Αντίφωνον γ΄ὁ α′ χορός. Στίχ.***
Αἰνεσάτωσαν Αὐτόν οἱ οὐρανοί καί ἡ γῆ.
***Ἀπολυτίκιον ῾Ηχος β′.*** Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὅθεν εὐχαρίστως βοῶμέν σοι, Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.
***ὁ β′ χορός. Στίχ.*** Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καί εὐφρανθῶμεν ἐν αὐτῇ. Τὴν ἄχραντον Εἰκόνα σου...
***ὁ α′ χορός. Στίχ.*** Κύριε, ὁ Θεός μου, εἰς τόν αἰῶνα ἐξομολογήσομαί Σοι. Τὴν ἄχραντον Εἰκόνα σου...
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α′ χορός ῾Ηχος β′,*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν...***ὁ β′ χορὸς...***ψάλλοντάς σοι, Ἀλληλούϊα.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***ὁ β′ χορὸς,Ἀπολυτίκιον ῾Ηχος β′***
Τὴν ἄχραντον Εἰκόνα σου ...
***ὁ α′ χορός,Τοῦ <u>Ναοῦ</u> ὁ β′ χορός,Κοντάκιον, ἦχος πλ.δ′***
Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε, ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον ἵνα κράζω σοι, Χαῖρε, Νύμφη ἀνύμφευτε.

**<u>Τρισάγιον</u>,*Ὁ Ἀπόστολος, Προκείμενον (δεν αλλάζουν) Ἦχος δ' ᾠδὴ τῶν Πατέρων.***

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

***Στίχ.*** Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**. (*Κεφ. ΙΑ', 24-26 32-40)***

Ἀδελφοί, πίστει Μωσῆς μέγας γενόμενος, …

***…Εἰς τό, Ἐξαιρέτως ὁ α' χορός τὸ Μέγα Μεγαλυνάριον Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***Ἦχος α' ,*** Τὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

**Κυριακή Β' τῶν Νηστειῶν, (+2 αμνούς), *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ ( τῶν Κυριακῶν), Ἀντίφωνον Α΄. Ἦχος β΄. Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ΄, Ἦχος α΄. Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν:*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***

***Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἦχος πλ. δ',*** Ὀρθοδοξίας ὁ φωστὴρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονὴ, τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος· Γρηγόριε θαυματουργὲ Θεσσαλονίκης τὸ καύχημα κήρυξ τῆς χάριτος· ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***<u>Ἀπολυτίκιον τοῦ αγίου Τοῦ Ναοῦ,</u> Κοντάκιον , Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ΄ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, Ἐκ παντοίων με

κινδύνων ἐλευθέρωσον, Ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

**<u>Τρισάγιον</u>**, ***Ἀπόστολος, Προκείμενον (του ήχου της Κυριακης).***

Πρός Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***1:10, 2:1-3***

Κατ᾽ ἀρχάς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, …

***…Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου. Εἰς τό, Ἐξαιρέτως,ὁ α᾽ χορός, τὸ Μέγα Μεγαλυνάριον***. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη,...***(βλέπε Α᾽ Κυριακή των Νηστειων).***

**Η ΤΑΞΙΣ ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ (Γ'Κυριακή Νηστειων)**

***Εἰς τὸ ᾄσματικόν***· «Ἅγιος ὁ Θεός…», ***γίνεται ἡ Εἴσοδος τοῦ Τιμίου Σταυροῦ ὡς ἐφεξῆς: Οἱ Χοροί κατέρχονται καὶ μεταβαίνουσι εἰς τὴν Βόρειον Πύλην τοῦ Ἱεροῦ Βήματος. Ὁ Ἱερεύς, λαμβάνει τὸ θυμιατὸν καὶ θυμιᾷ τρίς τὴν Ἁγίαν Τράπεζαν καὶ τὸν ἐπ᾽ αὐτῇ ἐπί ηὐτρεπισμένου μετ᾽ ἀνθέων καὶ τριῶν κηρῶν δίσκου κείμενον Τίμιον Σταυρόν. Θυμιάσας καὶ ποιήσας τρεῖς μετανοίας ἀσπάζεται τὴν Ἁγίαν Τράπεζαν καὶ αἴρει τὸν δίσκον μετά τοῦ Τιμίου Σταυροῦ ἐπί κεφαλῆς καὶ ἐξέρχεται ἀπὸ τῆς Βορείου Πύλης τοῦ Ἱ. Βήματος προπορευομένων αὐτοῦ τῶν Χορῶν, ψαλλόντων τὸ ᾄσματικόν*· «Ἅγιος ὁ Θεός», **τῶν λαμπαδούχων μετά τῶν Ἐξαπτερύγων ἄνευ τοῦ Σταυροῦ γίνεται ἡ περιφορά.**

***Η πομπή, ὅταν φθάσῃ εἰς τό μέσον τοῦ Σολέα, περιφέρεται πέριξ τοῦ τρισκελίου τρίς. Ἀκολούθως ὁ Ἱερεύς βλέπων πρὸς ἀνατολάς ὑψώνει τὸν δίσκον καὶ ἐκφωνεῖ*· «*Σοφία· ὀρθοί*», ***εἶτα θέτει αὐτόν ἐπί τοῦ τρισκελίου καὶ ἀμέσως λαμβάνει τὸ θυμιατὸν καὶ θυμιᾷ σταυροειδῶς τὸν ἐπί τοῦ τρισκελίου εὑρισκόμενον δίσκον μετά τοῦ Τιμίου Σταυροῦ ψάλλων τό***· «Σῶσον, Κύριε, τὸν λαὸν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα».

***Τὸ αὐτὸ ψάλλουσι ἀνά μίαν οἱ Χοροί.Εἶτα ὁ Ἱερεύς ἤ ὁ Ἀρχιερεύς, (ὅστις ἄν ᾖ χοροστατῶν κατέρχεται τοῦ θρόνου), ποιεῖ τρεῖς μετανοίας, προσκυνεῖ τὸν Τίμιον***

***Σταυρόν καὶ ψάλλει τό·*** «Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα και την αγίαν σου ανάστασιν δοξάζομεν». ***Τὸ αὐτό ἐπαναλαμβάνουσι καὶ οἱ δύο Χοροί καὶ γίνεται ὑπό τοῦ λαοῦ ἡ προσκύνησις τοῦ Τιμίου Σταυροῦ, τῶν χορῶν ψαλλόντων τά Ἰδιόμελα·*** «Δεῦτε, πιστοί***…***», ***κτλ***.

***Ποίημα Λέοντος Δεσπότου. Ἦχος β΄.***

**Δ**εῦτε πιστοὶ τὸ ζωοποιὸν Ξύλον προσκυνήσωμεν, ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης ἑκουσίως χεῖρας ἐκτείνας ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα, οὓς πρίν ὁ ἐχθρός, δι' ἡδονῆς συλήσας ἐξορίστους Θεοῦ πεποίηκε΄ Δεῦτε πιστοὶ Ξύλον προσκυνήσωμεν, δι' οὗ ἠξιώθημεν, τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας. Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν. Χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις, ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαόν, κραταιῶς ὑποτάττοντες. Σὲ νῦν μετὰ φόβου, Χριστιανοὶ ἀσπαζόμεθα, καὶ τὸν ἐν σοὶ προσπαγέντα Θεὸν δοξάζομεν λέγοντες, Κύριε ὁ ἐν αὐτῷ προσπαγείς, ἐλέησον ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

***Ὁ Ἀριστερός χορός ψάλλει τό Ἀπολυτίκιον·*** «Σῶσον Κύριε, τόν λαόν σου…». ***ὁ β' χορός, ἦχος α', Σ***ῶσον Κύριε τὸν λαόν σου…

**ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, (+2 αμνούς),**
**Κυριακή Γ' τῶν Νηστειῶν, *Ἀντίφωνον Α΄., Ἦχος β΄., Στίχος α΄.***

Ἐσημειώθη ἐφ΄ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχος. β΄.*** Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχος γ΄.*** Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.,

***Στίχος δ΄.*** Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Ἀντίφωνον Β΄. Ἦχος β΄. Στίχος α΄.***

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχος β΄.*** Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἕστησαν οἱ πόδες αὐτοῦ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχος γ΄.*** Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχος δ΄.*** Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς ...

***Ἀντίφωνον Γ΄. Ἦχος α΄., Στίχος α΄.***

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

***Στίχος β΄.*** Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Σῶσον Κύριε τὸν λαόν σου ...

***Στίχος γ΄.*** Καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. Σῶσον Κύριε τὸν λαόν σου …

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν:***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Ἀπολυτίκιον ταῆς ἑορτῆς. Ἦχος α΄.*** Σῶσον Κύριε τὸν λαόν σου …

***Ἀπολυτίκιον τοῦ αγίου Τοῦ Ναοῦ, Κοντάκιον, Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια,Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, Ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

***Ἀντὶ δὲ τοῦ Τρισαγίου:*** Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν***.(γ΄)*** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν. Καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν. ***Δύναμις***. Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

***Ἀπόστολος, Προκείμενον.(σταθερά) Ἦχος πλ. β΄***

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

***Στίχ***. Πρὸς σε, Κύριε, κεκράξομαι ὁ Θεός μου,

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Ἀδελφοί, ἔχοντες Ἀρχιερέα μέγαν …

***…Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου. Εἰς τό, Ἐξαιρέτως,ὁ α᾽ χορός ,τὸ Μέγα Μεγαλυνάριον.***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, …***(βλέπε Α΄ Κυριακή των Νηστειων).***

***…Κοινωνικὸν Τῆς Σταυροπροσκυνήσεως.*** Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Ἀλληλούϊα.

***Ἀντὶ τοῦ «Εἴδομεν».*** Σῶσον Κύριε τὸν λαόν σου…

**Κυριακή Δ᾽ τῶν Νηστειῶν, (+2 αμνούς),** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν) , Ἀντίφωνον Α΄ , Ἦχος β΄. Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ΄ ,Ἦχος γ΄. Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν ὁ α᾽ χορός Ἦχος β΄,***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν…***ὁ β᾽ χορὸς***…**ψ**άλλοντάς σοι, **Ἀ**λληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***ὁ β᾽ χορός τοῦ Ὁσίου ,Ἦχος πλ.δ᾽***

**Τ**αῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστήρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασιν Ἰωάννη Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***ὁ α' χορός, Τοῦ <u>Ναοῦ</u>, ὁ β' χορός, Κοντάκιον Ἦχος πλ.δ'***

**Τ**ῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε, ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον ἵνα κράζω σοι, Χαῖρε, Νύμφη ἀνύμφευτε.

**<u>Τρισάγιον</u>**, ***<u>Απόστολος</u>, Προκείμενον. (ήχου Κυριακης).***

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου, τὸ Ἀνάγνωσμα, ***(Κεφ. Ϛ ', 13-20)***

**Ἀ**δελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς…

**…Εἰς τό, Ἐξαιρέτως,*ὁ α' χορός ,τὸ Μέγα Μεγαλυνάριον ,Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη,…***(βλέπε Α' Κυριακή των Νηστειων).***

**26-3, Κυριακή Δ' Νηστειων, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α΄. Ἦχος β΄.***

**Στίχ. α΄.** Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ. β΄.*** Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοσύνην. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ. β΄.*** Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ. δ΄.*** Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα… Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β΄. Ἦχος β΄.* Στίχ. α΄.**

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι΄ ἡμᾶς σαρκωθείς,ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ. β΄.*** Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι΄ ἡμᾶς σαρκωθείς…

***Στίχ. γ΄***. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς...

***Στίχ. δ΄***. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς...

Δόξα... Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ...

***Ἀντίφωνον Γ΄. Ἦχος δ΄. Στίχ. α΄.***

Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.

***Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.***

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ᾽ αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἰσοδικόν. Ἦχος β΄.(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).***

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας * τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. * Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ αναστάς εκ νεκρων* ψάλλοντάς σοι· Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄,*** Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον…

***Του Ναου. Κοντάκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε, νύμφη ἀνύμφευτε.

***ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ, ΑΠΟΣΤΟΛΟΣ, Προκείμενον. (ήχου Κυριακης).***

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου, τὸ Ἀνάγνωσμα, ***(Κεφ. Ϛ΄, 13-20)***

**Ἀ**δελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς …

***...Εἰς τό, Ἐξαιρέτως,ὁ α΄ χορός ,τὸ Μέγα Μεγαλυνάριον.***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, ,,,***(βλέπε Α΄ Κυριακή των Νηστειων).***

***…Κοινωνικόν***.Ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

**Κυριακή Ε' τῶν Νηστειῶν, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν) , Ἀντίφωνον Α΄ , Ἦχος β΄. Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄ ,Ἦχος γ΄. Στίχ. α΄.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν ὁ α' χορός Ἦχος β'***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, **Ἀ**λληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***ὁ β' χορός Ἦχος πλ. δ' ,*** Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκὸς παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται Ὁσία Μαρία τὸ πνεῦμά σου.
***ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ***. Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν· καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***ὁ α' χορός, Τοῦ <u>Ναοῦ</u>, ὁ β' χορός, Κοντάκιον Ἦχος β'***
Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
**<u>Τρισάγιον</u>***., ΄Απόστολος, Προκείμενον. (ήχου Κυριακης).*
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***9:11-14***
Ἀδελφοί, Χριστὸς παραγενόμενος Ἀρχιερεὺς …
***…Εἰς τό, Ἐξαιρέτως,ὁ α' χορός ,τὸ Μέγα Μεγαλυνάριον ,Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***
**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, …***(βλέπε Α' Κυριακή των Νηστειων).***

**Κυριακή των Βαΐων, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ψάλλομεν τὰ παρόντα Ἀντίφωνα, Ἀντίφωνον α', ὁ α' χορός, Ἦχος β'***

***Στίχ.*** **Ἠ**γάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ.*** **Π**εριέσχον με ὠδῖνες θανάτου, κίνδυνοι Ἅιδου εὗρόσάν με.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ α' χορός, Στίχ.*** **Θ**λῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ.*** **Ε**ὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ α' χορός,*** **Δόξα Πατρὶ... Καὶ νῦν...Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Ἀντίφωνον β', ὁ β' χορός, Ἦχος ὁ αὐτὸς, Στίχ.*** **Ἐ**πίστευσα, διὸ ἐλάλησα. ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ.*** **Τ**ί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ β' χορός, Στίχ.*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ.*** **Τ**ὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ β' χορός,*** **Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. ***ὁ α' χορός,*** **Κ**αὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***ὁ β' χορός ,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός,

θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

***ὁ α' χορός, Ἀντίφωνον γ', Ἦχος α', Στίχ.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

***Ἀπολυτίκιον Ἦχος α',*** **Τ**ὴν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ Θεός, ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

***ὁ β' χορός, Στίχ.*** **Ε**ἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. **Τ**ὴν κοινὴν Ἀνάστασιν...

***ὁ α' χορός, Στίχ.*** **Ε**ἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. **Τ**ὴν κοινὴν Ἀνάστασιν...

***ὁ β' χορός, Στίχ.*** **Ε**ἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. **Τ**ὴν κοινὴν Ἀνάστασιν...

***Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός***

**Ε**ὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς,... ***ὁ β' χορός...ψ***άλλοντάς σοι, Ἀλληλούϊα.

***Εἶτα τὰ Ἀπολυτίκια, ὁ α' χορός , Ἦχος α'***

**Τ**ὴν κοινὴν Ἀνάστασιν, …

***ὁ β' χορός, Ἦχος δ' ,*** **Σ**υνταφέντες σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

***ὁ α' χορός , Κοντάκιον , Ἦχος πλ. β'***

**Τ**ῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεός, τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν Παίδων τὴν ὑμνησιν προσεδέξω βοώντων σοι΄ Εὐλογημένος εἶ ὁ ἐρχόμενος, **τὸν Ἀδὰμ ἀνακαλέσασθαι.**

***<u>Τρισάγιον</u>. Ἀ π ό σ τ ο λ ο ς, Προκείμενον Ἦχος δ'***

**Ε**ὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

***Στίχ.*** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***(Κεφ. Δ', 4-9)***

**Ἀ**δελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε, …

***…Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορός ,ὁ εἱρμὸς τῆς, θ'ᾠδῆς, ἦχος δ'***
**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, συστήσασθε ἑορτήν, καὶ ἀγαλλόμενοι, δεῦτε μεγαλύνωμεν Χριστόν, μετὰ βαΐων καὶ κλάδων, ὕμνοις κραυγάζοντες, Εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, **Σωτῆρος ἡμῶν.**
*…**ὁ β' χορός ,Κοινωνικὸν ,ἦχος δ'***
**Ε**ὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. **Ἀ**λληλούϊα.
***Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς…», ὁ α' χορός***
***Ἦχος α',* Τ**ὴν κοινὴν Ἀνάστασιν, …

**ΤΥΠΙΚΟΝ ΑΙΩΝΙΟΝ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ 57 ΚΥΡΙΑΚΩΝ (ο χορός). γ', Κυριακές Πεντηκοσταρίου και Ματθαίου μέχρι και τον Αύγουστο.**

**Κυριακές Πεντηκοσταρίου, Θ. Λειτουργία (ο χορός)**

**Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-4, 25-4, 2-5, 8-5, 21-5, 25-5.**
**παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 24-6, 29-6, 30-6**
**κατά την περίοδο του Πεντηκοσταρίου έχουμε κατάλυση οίνου και ελαίου τις Τετάρτες και τις Παρασκευές. κατάλυση οίνου και ελαίου τις Τετάρτες και τις Παρασκευές και στις εξής εορτές όταν πέσουν Τετάρτη ή Παρασκευή: Απρίλιος: 23, 25, 30. Μάϊος: 2, 8, 15, 21, 25. Ιούνιος: 8, 11, 29, 30. Κατάλυση ιχθύος την Τετάρτη της ΜεσοΠεντηκοστης, και την Τετάρτη της αποδόσεως του Πάσχα. Την εβδομάδα της Διακαινησίμου κατάλυσις εις πάντα. Την εβδομάδα της Πεντηκοστής κατάλυσις εις πάντα.**

**Κυριακή Αναστάσεως: *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς …**Ἦχος πλ. α'***
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, **ζωὴν χαρισάμενος *(Χ)***.

***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***

***Στίχ. α'*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. β',*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. γ',*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. δ',*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***ὁ α'χορὸς,*** Δόξα Πατρί...**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***ὁ β'χορὸς,*** Καὶ νῦν...**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ***

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας...***ὁ β'χορὸς...κ***αὶ τοῖς ἐν τοῖς μνήμασι **ζωὴν χαρισάμενος.**

***ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ...Ἀντίφωνον α' Ἦχος β'***

***Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', Ἦχος ὁ αὐτὸς, Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ***ὁ α΄ χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ***ὁ β΄ χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. ***ὁ α΄ χορός*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

Δόξα Πατρί... Καὶ νῦν...***ὁ β΄ χορός*** **, Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, **σῶσον ἡμᾶς.**

***Ἀντίφωνον γ΄ Ἦχος πλ. α΄***

***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α΄ χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β΄ χορός ,*** **Χ**ριστὸς ἀνέστη...

***Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α΄ χορός,*** **Χ**ριστὸς ἀνέστη... ***Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **ὁ β΄ χορός,** **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν (το ψάλλουν οι ιερεις ή ο χορός),*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

***Εἶτα τὸ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...**(ἐκ γ΄).** ***ὁ β΄ χορός, Ἡ Ὑπακοὴ Ἦχος δ΄***

**Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***ὁ α΄ χορός, Κοντάκιον Ἦχος πλ. δ΄***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ, Ἦχος α'***, **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα.

***ΑΠΟΣΤΟΛΟΣ, Προκείμενον Ἦχος πλ. δ'***

**Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Στίχ.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα**

**Τ**ὸν μὲν πρῶτον λόγον …

***…Εἰς τὸ Ἐξαιρέτως, ὁ α'χορὸς, Ἦχος α'*** , ***Στίχ.*** **Ὁ**Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἰερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***…Κοινωνικὸν ,ὁ β' χορός , Ἦχος α'***, **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου **γεύσασθε.*** ***Ἀντὶ τοῦ*** ***«Εἴδομεν τὸ φῶς…»*** ***καὶ τοῦ*** ***«Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον…»*** ***λέγεται τό***, Χριστὸς ἀνέστη**…**

***Ἀπόλυσις: Διαλογική·*** «Ὁ ἀναστάς ἐκ νεκρῶν…». ***ὁ Προεξάρχων: πρός τόν λαόν*** «Χριστός ἀνέστη». ***Ὁ Λαός:*** «Ἀληθῶς ἀνέστη», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ· ὁ Προεξάρχων: Τό·*** «Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει». ***Ὁ Λαός: Ἀποκρίνεται διά τοῦ·*** «Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». ***ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·*** «Χριστός ἀνέστη…**»** ***(ὅλον), καί Ὁ Λαός: Ἀντιφωνεῖ·*** «Ἀληθῶς ἀνέστη ὁ Κύριος».

**ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ (τοῦ ΘΩΜΑ)**, ***Εἰς τήν Λειτουργίαν, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία…» ψάλλεται τό·*** «**Χ**ριστός ἀνέστη…», ***τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***

***Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορός, Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορός, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β' χορός, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός,*** Δόξα Πατρί... ***ὁ β' χορός*** **,** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β', Ἦχος ὁ αὐτὸς, ὁ β' χορός, Στίχ.***
**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α' χορός, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β' χορός, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ α' χορός, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β' χορός,*** Δόξα Πατρί... Καὶ νῦν...**Ὁ Μονογενὴς** Υἱὸς ...
***Ἀντίφωνον γ', Ἦχος πλ. α', ὁ α' χορός, Στίχ.***
**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β' χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...
**ὁ α' χορός, Στίχ.** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...
***ὁ β' χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...
***Εἰσοδικὸν, ὁ α' χορός,***

**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β' χορός***...ψάλλοντάς σοι. **Ἀ**λληλούϊα.

***Εἶτα ὁ α' χορός,Ἀπολυτίκιον*** ***Ἦχος βαρὺς,*** **Ἐ**σφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

……..

***23-4 το απολυτίκιον του Αγίου, Ἦχος δ΄.*** Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

……

***ὁ α' χορός, Κοντάκιον Ἦχος πλ. δ'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**<u>Τρισάγιον</u>** ***Ἀπόστολος, Προκείμενον, Ἦχος γ'***

**Μ**έγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

***Στίχ.*** **Α**ἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

**Ἐ**ν ταῖς ἡμεραῖς ἐκείναις, διὰ τῶν χειρῶν τῶν ἀποστόλων …

……

***23-4 ο Απόστολος του Αγίου Γεωργίου***

……

***...ὁ α' χορός, Εἰς τό Ἐξαιρέτως, Ὁ Εἱρμός τῆς θ΄ ᾠδῆς τοῦ Κανόνος τῆς Ἑορτῆς, Ἦχος α'***

**Σ**ὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα του Θεοῦ, τὴν ἁρίζηλον δόξαν καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων ἐν ὕμνοις μεγαλύνομεν**.**

***...ὁ β' χορός, Κοινωνικόν, Ἦχος α'***

**Ἐ**παίνει, Ἰερουσαλήμ, τόν Κύριον, αἴνει τόν Θεόν σου, Σιών. **Ἀ**λληλούϊα.

***ὁ α' χορός, Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς...» ψάλλει τό,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***αντί του*** *"δι'ευχων..."* ***λέμε*** *"Χριστός ανέστη..."****και ο χορός:*** **"**αληθως ανέστη ο Κύριος".

**ΚΥΡΙΑΚΗ Γ' από το Πάσχα, των Μυροφόρων, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό· «Χριστός ἀνέστη...», τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν. Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ....***(ΟΠΩΣ ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ)***

***Εἰσοδικὸν,ὁ α' χορός,*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,... ***ὁ β' χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος β',*** **Ὅ**τε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον. Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

***ὁ β' χορὸς,*** **Ὁ** εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο, ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***ὁ α' χορὸς,*** **Τ**αῖς μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα. Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος ἀλλὰ κραυγάσατε, ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

.....

***8-5, Ἀπολυτίκιον, Ἦχος β'***

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος, ὃν ἱκέτευε, Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

.....

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ <u>Ναοῦ</u>,***

***ὁ α' χορὸς „Κοντάκιον Ἦχος β'*** **,** **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος,

Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.
***Τρισάγιον, Ἀπόστολος,Κυριακῆς Γ΄ τῶν Πράξεων· (Πράξ. ς΄ 1-7).,Προκείμενον ἦχος β'.***
**Ἰ**σχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
***Στίχ.*** **Π**αιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα**
**Ἐ**ν ταῖς ἡμεραῖς ἐκείναις, πληθυνόντων τῶν μαθητῶν …
……
***8-5, Απόστολος τοῦ Εὐαγγελιστοῦ (Καθολικ. Α΄ Ἰωάνν. α΄ 1-7).Προκείμενον. Ἦχος πλ. δ΄***
**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. ***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. ***Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα***
**Ὃ** ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, …
……
***…Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς, Ἦχος α',Στίχ.*** **Ὁ** Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἰερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
***…ὁ β' χορὸς,Κοινωνικὸν, εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.
***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς…» ***ψάλλει ὁ α'χορὸς τό,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**ΚΥΡΙΑΚΗ Δ' από το Πάσχα,** ***του Παραλύτου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία…» ψάλλεται τό·*** «Χριστός ἀνέστη…»***, τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν. Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***
**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. …***(ΟΠΩΣ ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ)***
***Εἰσοδικὸν,ὁ α' χορός,***
**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,…***ὁ β' χορός,***

...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α' χορός,Ἀπολυτίκιον Ἦχος γ, ΄***

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ <u>Ναοῦ</u>, ὁ α' χορὸς, Κοντάκιον Ἦχος β'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. ***<u>Τρισάγιον</u>,᾽Απόστολος,Κυριακῆς δ΄ τῶν Πράξεων· (Πράξ. θ΄ 32-42). Προκείμενον ἦχος γ'.***

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.

***Στίχ.*** Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμεραῖς ἐκείναις, ἐγένετο Πέτρον …

***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς, Ἦχος α',Στίχ.*** **Ὁ**΄Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἀγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. <u>Συμφώνως</u> Παρθένε, σὲ μακαρίζομεν πιστοί, Χαῖρε πύλη Κυρίου, χαῖρε πόλις ἔμψυχε, χαῖρε, δι' ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν ἀναστάσεως.

***ὁ β' χορὸς,Κοινωνικὸν ,εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**ΚΥΡΙΑΚΗ Ε' από το Πάσχα,** ***της Σαμαρείτιδος, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό·*** «Χριστός ἀνέστη...», ***τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***

***Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ….***<u>(ΟΠΩΣ ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ)</u>***

***Εἰσοδικὸν,ὁ α' χορός,*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β' χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α' χορός, , Ἀπολυτίκιον Ἦχος δ'.***

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Τῆς ἑορτῆς τῆς Μεσοπεντηκοστῆς. Ἦχος πλ. δ΄.***

Μεσούσης τῆς Ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ <u>Ναοῦ</u>, ὁ α' χορὸς, Κοντάκιον Ἦχος β'*** **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι **παρέχων ἀνάστασιν.**

**<u>Τρισάγιον</u>,*᾽Απόστολος,Κυριακῆς της Σαμαρείτιδος(Πράξ. θ΄ 32-42). Προκείμενον. Ἦχος δ΄.***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ. α΄.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. ***(Πρξ. ια΄ 19-30)***

Ἐν ταῖς ἡμέραις ἐκείναις, διασπαρέντες οἱ ἀπόστολοι …

***...Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,Ἦχος α',Στίχ.*** **Ὁ**˝Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ˋΑγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. Εὐφραίνου, ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός· ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς πιστοὺς πάντας καταυγάσας, θεοχαρίτωτε Δέσποινα.

***...ὁ β' χορὸς,Κοινωνικὸν ,εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,,*** **Χ**ριστὸς ἀνέστη ἐκ …

**ΚΥΡΙΑΚΗ στ' από το Πάσχα, του Τυφλου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,** Μετά τό· «**Ε**ὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό· «Χριστός ἀνέστη...», τρίς, ἅπαξ ἀπό τοῦ ἹΙεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ…***(ΟΠΩΣ ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ)***

***Εἰσοδικὸν,ὁ α' χορός***. **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,... ***ὁ β' χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος πλ. α'***

**Τ**ὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

……

***21-5 το απολυτίκιον των αγίων Κωνσταντίνου και Ελένης, και ο Απόστολος των Αγίων, Ἦχος δ'***

**Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς...
***ὁ β' χορός***, Δόξα Πατρὶ... ***ὁ α' χορός***, Καὶ νῦν... ***ὁ β' χορός***
**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...
***Ἀντίφωνον Γ', ὁ α' χορὸς, Στίχ. α'.***
**Ἑ**τοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.
***Ἦχος α'***
Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας. Ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε, Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.
***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός ,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος πλ. δ'.*** Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.
***ὁ β' χορὸς, τῆς Ἑορτῆς, Ἦχος α'***
**Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας…
***ὁ α' χορός, Τοῦ <u>Ναοῦ</u> , ὁ β' χορός, Κοντάκιον Ἦχος πλ. β' , Αὐτόμελον,***
**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν, ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.
***Τρισάγιον., Απόστολος ΚΥΡΙΑΚΗ Θ΄(από την Πεντηκοστή) , Προκείμενον. Ἦχος πλ. δ΄***
Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
***Στίχ***. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.
Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα ***3:9-17***
Ἀδελφοί, Θεοῦ ἐσμεν συνεργοί· …

**17-8, ΚΥΡΙΑΚΗ Ι' Ματθαίου *<u>(μετά την εορτήν)</u> ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Τὰ παρόντα ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α' χορὸς***
***Στίχ. α'.*** **Ἀ**λαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ….
***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός ,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον., Ἦχος α'.*** Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.
***ὁ α' χορός , τῆς Ἑορτῆς, Ἦχος α'***
**Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας…
***ὁ β' χορός, Τοῦ <u>Ναοῦ</u> , ὁ α' χορός, Κοντάκιον Ἦχος πλ. β' , Αὐτόμελον,***

**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν, ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

**Τρισάγιον**, ***Ἀπόστολος ΚΥΡΙΑΚΗ Ι΄, (από την Πεντηκοστή), Προκείμενον. Ἦχος α΄***

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.

***Στίχ.*** Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***4:9-16.***

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους …

**Κυριακή Ι' Ματθαίου, *13-8, Απόδοσις της εορτης της Μεταμορφώσεως, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ ΤΗΣ ΕΟΡΤΗΣ , Ἀντίφωνον Α', ὁ α' χορός ,Στίχ. α'.***

**Μ**έγας Κύριος καὶ αἰνετὸς σφόδρα…

***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν,ὁ α' χορός***

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτὶ σου ὀψόμεθα φῶς, Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ αναστάς εκ νεκρων... ***ὁ β' χορός...***ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος α'.***

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

***ὁ α' χορός , τῆς Ἑορτῆς,*** Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός…

***ὁ β' χορός, Τοῦ* Ναοῦ *, ὁ α' χορός,Κοντάκιον***

***Αὐτόμελον Ἦχος βαρὺς***

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

***Τρισάγιον, Ἀπόστολος ΚΥΡΙΑΚΗ Ι΄, (από την Πεντηκοστή-αλλάζει), Προκείμενον (και αλληλουιάριον της 6-8 λόγω αποδόσεως της εορτης) ἦχος δ'***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε΄πάντα ἐν σοφίᾳ ἐποίησας.
**Στίχ.** Εὐλόγει ἡ ψυχὴ μου, τὸν Κύριον.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***4:9-16***
Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους …
…***εις το εξαιρέτως: Ὠιδὴ θ', τῆς Ἑορτῆς, Ἦχος δ', Ὁ Εἱρμὸς***
«Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος, ὃς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, σὲ Θεοτόκε· διὸ πάντες μεγαλύνομεν».
***…Κοινωνικὸν , ἦχος δ'***
Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε, πορευσόμεθα εἰς τὸν αἰῶνα. Ἀλληλούϊα.
**…Ἀντὶ τοῦ «Ε**ἴδομεν τό φῶς…» ***ὁ α' χορός , Ἦχος βαρὺς***
**Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός…

**20-8,** ***η μετά την εορτήν, ΙΑ' Ματθαίου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α' χορὸς, Στίχ. α'.***

**Ἀ**λαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ. ..
***<u>Μικρὰ Εἴσοδος</u>. , Εἰσοδικὸν, ὁ α' χορός,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
***Ἦχος α',*** Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας….
***ὁ α' χορός. Τοῦ <u>Ναοῦ</u>, ὁ β' χορός, Κοντάκιον Ἦχος δ' , Αὐτόμελον,***
**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν, ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.
***<u>Τρισάγιον</u>. Ἀπόστολος, ΚΥΡΙΑΚΗ ΙΑ΄, (από την Πεντηκοστή), Προκείμενον. Ἦχος β΄***

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
***Στίχ***. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***9:2-12***
Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς …

**23-8, ΚΥΡΙΑΚΗ ΙΑ' Ματθαίου *(άλλο τυπικό δίνει και τον Απόστολο και το Ευαγγέλιο στην εορτή!), ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Τὰ παρόντα, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α' χορὸς***
***Στίχ. α'.*** **Ἀ**λαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ…
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον.*** ***Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
***ὁ β' χορὸς , τῆς Ἑορτῆς, Ἦχος α'***, **Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν …
***ὁ α' χορός. Τοῦ <u>Ναοῦ</u> ὁ β' χορός, Κοντάκιον Ἦχος πλ. β' , Αὐτόμελον,***
**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν, ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.
***Τρισάγιον. Ἀπόστολος Τῆς Ἑορτῆς· Προκείμενον ἦχος γ'***
**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.
**Στίχ.** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·
**Π**ρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα
***(Φιλιπ. β΄ 5-11).***
**Ἀ**δελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν …
***…Εἰς τό, Ἐξαιρέτως , ὁ α' χορός, Ἦχος α'***
**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον. ***Ὁ Εἱρμὸς*, Ν**ενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε, παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται

θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.
***…Κοινωνικὸν, ὁ β΄ χορός, ἦχος γ΄,*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

**24-8, ΙΑ΄ Ματθαίου *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α΄,῎Ηχος β΄.Στίχ.***
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄,Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον. ῎Ηχος β΄.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
***<u>Μικρὰ Εἴσοδος.</u> , Εἰσοδικὸν, ὁ α΄ χορός,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…***ὁ β΄ χορὸς…*****ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α΄ χορός,, Ἀπολυτίκιον.῎Ηχος β΄.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον…
***ὁ α΄ χορός. Τοῦ* <u>Ναοῦ</u>**
***ὁ β΄ χορός, Κοντάκιον ῎Ηχος δ΄ , Αὐτόμελον, (από 24-8 έως 12-9, πλήν της 31-8, 1-9, 7-9)***
Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.
***<u>Τρισάγιον</u>. Ἀπόστολος, ΚΥΡΙΑΚΗ ΙΑ΄, (από την Πεντηκοστή), Προκείμενον. ῎Ηχος β΄***
Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
***Στίχ.*** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα, ***9:2-12.***
Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς…

**27-8, ΙΒ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.***

***Στίχ.***Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον,...

***Ἀντίφωνον Γ',Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***<u>Μικρὰ Εἴσοδος</u>. , Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β'***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός***, ***Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω...

……..

***27-8, Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχύ προκατάλαβε***

Οὐράνιον ἐφύμνιον, …

……

***ὁ α' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός,Κοντάκιον Ἦχος δ' , Αὐτόμελον***

**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**<u>Τρισάγιον</u>**, ***Ἀπόστολος ΚΥΡΙΑΚΗ ΙΒ΄, (από την Πεντηκοστή), Προκείμενον. Ἦχος γ΄***

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε.

***Στίχ***. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***15:1-11***

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον …

**30-8-2026, ΙΓ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …
***Ἀντίφωνον Γ΄,Στίχ.***
**Ἐ**ξομολογεῖσθαι τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
***ὁ α΄ χορός, Ἀπολυτίκιον.῎Ηχος δ΄.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.
***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
**ὁ β' χορός**,***Ἀπολυτίκιον.῎Ηχος δ΄.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, …
**<u>Μικρὰ Εἴσοδος</u>. *, Εἰσοδικὸν, ὁ α' χορός , ῎Ηχος β',***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν…
***ὁ β' χορὸς…*ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
**ὁ α' χορός**, ***Ἀπολυτίκιον.῎Ηχος δ΄.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, …
**……**
***30-8, ῎Ηχος β΄.*** Μνήμη Δικαίου μέτ' ἐγκωμίων,…
……
***ὁ α' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός, Κοντάκιον ῎Ηχος δ' , Αὐτόμελον,***
**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.
**<u>Τρισάγιον</u>*, ΄Απόστολος, ΚΥΡΙΑΚΗ ΙΓ΄,(από την Πεντηκοστή), Προκείμενον. ῎Ηχος δ΄***
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.
Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
***16:13-24***
Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, …

**31-8, ΙΒ' Ματθαίου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν),Ἀντίφωνον Α',Ἦχος β΄.***

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, …

***Ἀντίφωνον Γ',Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**<u>Μικρὰ Εἴσοδος</u>. *, Εἰσοδικὸν, ὁ α' χορός, Ἦχος β'***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω…

……..

***31-8, Ἀπολυτίκιον τῆς Τιμίας Ζώνης. Ἦχος πλ. δ΄.***

Θεοτόκε ἀειπάρθενε, τῶν ἀνθρώπων ἡ σκέπη…

……

***ὁ α' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ β' χορός,Κοντάκιον τῆς Ἑορτῆς τῆς Καταθέσεως τῆς Τιμίας Ζώνης τῆς Ὑπεραγίας Θεοτόκου. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.***

Τὴν θεοδόχον γαστέρα σου Θεοτόκε, περιβαλοῦσα ἡ Ζώνη σου ἡ τιμία, κράτος τῇ πόλει σου ἀπροσμάχητον, καὶ θησαυρὸς ὑπάρχει, τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα ἀειπάρθενος.

**<u>Τρισάγιον</u>***,Ἀπόστολος Τῆς Θεοτόκου, ζήτει τῇ ΚΑ΄ Νοεμβρίου και 28-10, (Ἑβρ.Θ' 1-7),Προκείμενον ἦχος γ'.*

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας …

**Θεία Λειτουργία (ο Χορός), 20 εορτές που παίρνουν το Ευαγγέλιο όταν πέσουν Κυριακή:1-9, 14-9, 26-9, 18-10, 16-11, 21-11, 30-11, 25-12, 1-1, 6-1, 7-1, 30-1, 2-2, 25-3, 24-6,**

**29-6, 30-6, 6-8, 15-8, 29-8.** ***(Οι εορτές που πέφτουν στο Τριώδιο ή στο Πεντηκοστάριο κάθε χρόνο έχουν άλλο τυπικό. από τον Ιούλιο μέχρι τον Ιανουάριο έχουν το ίδιο, εκτός Κυριακης).***

**Κυριακή 1-9,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν)Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.***Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν….Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.***

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ.*** Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..

***Στίχ..*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς ...

***Ἀντίφωνον Γ', Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***

***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν,Ἦχος β',*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Ἀπολυτίκιον τῆς ἰνδίκτου ἦχος β΄.*** Ὁ πάσης δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου, πρεσβείαις τῆς θεοτόκου, καὶ σῶσον ἡμᾶς.

***Ἀπολυτίκιον τῆς θεοτόκου Ἦχος βαρὺς***

Χαῖρε κεχαριτωμένη θεοτόκε παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ κόσμου· μόνη γὰρ ὑπάρχεις μήτηρ καὶ παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη, πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ οἰκουμένῃ.

***Ἀπολυτίκιον τοῦ Ὁσίου Πατρὸς ἡμῶνΣυμεὼν Ἦχος α΄***

Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι, Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Τοῦ <u>Ναοῦ</u>,** ***Κοντάκιον τῆς Ἰνδίκτου, Ἰακώβου πρωτοψάλτου, Ἦχος δ΄Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ***

Ὁ τῶν αἰώνων ποιητὴς καὶ δεσπότης, Θεὲ τῶν ὅλων ὑπερούσιε ὄντως, τὴν ἐνιαύσιον εὐλόγησον περίοδον, σῴζων τῷ ἐλέει σου τῷ ἀπείρῳ, οἰκτίρμον, πάντας τοὺς λατρεύοντας σοὶ τῷ μόνῳ δεσπότῃ, καὶ ἐκβοῶντας φόβῳ, λυτρωτά• εὔφορον πᾶσι τὸ ἔτος χορήγησον, Κύριε.

**<u>Τρισάγιον</u>.** ***Ἀπόστολος, Τῆς Ἰνδίκτου, Προκείμενον. Ἦχος δ΄***

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

***Στίχ.*** Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***2:1-7***

Τέκνον Τιμόθεε, παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ

Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος, — ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, — διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.
***…Κοινωνικὸν Τῆς Ἰνδίκτου,*** Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, Κύριε. Ἀλληλούϊα.

**14-9, ΤΕΛΕΤΗ ΥΨΩΣΕΩΣ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ**
***Εἰς τό·*** «Δόξα Πατρί» ***τοῦ·*** «Ἅγιος ὁ Θεός» ***τῆς Δοξολογίας ὁ Ἱερεύς λαμβάνει τό θυμιατὸν καί θυμιᾷ ἐννεάκις τὸν ἐπὶ τῆς Ἁγίας Τραπέζης εὑρισκόμενον ἠύτρεπισμένον διὰ βασιλικοῦ Τίμιον Σταυρὸν καί ποιεῖ τρεῖς μετανοίας. Μετὰ τό·*** «Καί νῦν» ***τοῦ·*** «Ἅγιος ὁ Θεός» ***τῆς Δοξολογίας οἱ Χοροὶ συγκεντρούμενοι πρὸ τῆς Βορείου Πύλης τοῦ Ἱεροῦ Βήματος ψάλλουσιν τὸ ᾀσματικόν·*** «Ἅγιος ὁ Θεός» ***καὶ ἄρχεται ἡ περιφορὰ τοῦ Τιμίου Σταυροῦ, προπορευομένων τῶν Λαμπαδούχων μετὰ ἐξαπτερύγων-πλὴν τοῦ Σταυροῦ- καὶ τῶν Ἱεροψαλτῶν. Ὁ Ἱερεὺς αἴρει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸν δίσκον μετὰ τοῦ Τιμίου Σταυροῦ. Ἡ πομπή, ὅταν φθάσῃ εἰς τὸ μέσον τοῦ Σολέα, περιφέρεται τρὶς πέριξ τοῦ τρισκελίου. Ἀκολούθως ὁ Ἱερεὺς κρατῶν εἰς τὰς χεῖρας τὸν δίσκον ἐκφωνεῖ τό·*** «Σοφία· Ὀρθοί» ***καί ἐν συνεχείᾳ τίθησι τόν δίσκον ἐπί τοῦ τρισκελίου καί λαβών τό θυμιατὸν καί θυμιῶν κυκλοτερῶς τοῦ τρισκελίου τόν Τίμιον Σταυρόν ψάλλει τό·*** Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα. ***ὅπερ ἐπαναλαμβάνουσιν οἱ δύο Χοροί. Λαβὼν ἐν συνεχείᾳ ἀπὸ τὸν δίσκον τὸν Τίμιον Σταυρὸν μετὰ κλάδων βασιλικοῦ, κρατεῖ αὐτὸν ὑψηλὰ καί ἐκφωνεῖ·*** Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον**. *Οἱ Χοροί ψάλλουσι μ΄ φοράς τό*** «Κύριε, ἐλέησον». ***Ὁ Διάκονος ἤ ἄλλος τις, ῥαντίζει μὲ κανίον τὸν ὑπὸ τοῦ Ἱερέως κρατούμενον τίμιον Σταυρὸν καὶ βασιλικὸν καί κλίνει μέχρι τοῦ ἐδάφους καὶ κατ' ὀλίγον ἀνίσταται. Ἐλθὼν πρὸς τὰ δεξιὰ τοῦ τρισκελίου, βλέπων πρὸς βορρᾶν ἐκφωνεῖ*** «Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν» ***καὶ ποιεῖ***

***τὴν β΄ Ὕψωσιν. Ἐλθὼν εἰς τὴν ἀνατολικὴν πλευρὰν καὶ βλέπων πρός δυσμάς ἐκφωνεῖ*** «Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν...» ***καὶ ποιεῖ τὴν γ΄ Ὕψωσιν. Ἐλθὼν πρὸς βορρᾶν (ἀριστερά) ἐκφωνεῖ·*** Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου *(ἤ τῶν συνδρομητῶν, ἀνακαινιστῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Μονῆς ταύτης, τῶν ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης, τῶν εὐλαβῶν προσκυνητῶν),* ***καὶ ποιεῖ τὴν δ΄ Ὕψωσιν. Ἐλθὼν δὲ πάλιν πρὸ τοῦ τρισκελίου καὶ βλέπων πρὸς ἀνατολὰς ἐκφωνεῖ·*** «Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν Ὀρθοδόξων, ὑγείας τε καί σωτηρίας καί ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν» ***καὶ ποιεῖ τὴν ε΄ Ὕψωσιν. Μετὰ τό·*** «Κύριε, ἐλέησον...» **τ*ίθησι τὸν Τίμιον Σταυρὸν καὶ τὸν βασιλικὸν ἐπὶ τοῦ δίσκου. Εἶτα ὁ Ἱερεὺς ἤ ὁ Ἀρχιερεύς, (ὅστις ἄν ᾖ χοροστατῶν) κατέρχεται τοῦ θρόνου, λαμβάνει ἐκ τοῦ δίσκου τὸν Τίμιον Σταυρὸν μετὰ κλάδων βασιλικοῦ, ὑψώνει τοῦτον καὶ ψάλλει τὸ Κοντάκιον·*** Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον. ***Εἶτα ἀποθέτει αὐτὸν ἐπὶ τοῦ δίσκου, ποιεῖ τρεῖς μετανοίας μετὰ Σταυροῦ, ἀσπάζεται τὸν Τίμιον Σταυρὸν καὶ ψάλλει ἅπαξ·*** Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν. ***ὅπερ ἐπαναλαμβάνει ἀνὰ μίαν καὶ ἑκάτερος τῶν χορῶν καὶ γίνεται ὑπὸ τοῦ λαοῦ ἡ προσκύνησις τοῦ Τιμίου Σταυροῦ, τῶν Χορῶν ψαλλόντων τὰ Ἰδιόμελα·*** «Δεῦτε, πιστοί...», ***κτλ.***

***(ο Σταυρός θα μπει στο Ιερό το εσπέρας της 21ης πριν τον Εσπερινό της 22ας.*** "Σωσον, Κύριε, τον λαόν σου…", ***θυμιάζοντας κύκλω, κρατωντας ψηλά τον δίσκο, μπαίνουμε στο Ιερό).***

***ὁ β' χορός , Ἦχος β',*** Δεῦτε πιστοί, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν, ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης, ἑκουσίως χείρας ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα, οὕς πρὶν ὁ ἐχθρός, δι' ἡδονῆς συλήσας,

ἐξορίστους Θεοῦ πεποίηκε. Δεῦτε πιστοί, ξύλον προσκυνήσωμεν, δι' οὗ ἠξιώθημεν, τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας. Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν. Χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις. Ἐν σοὶ οἱ πιστότατοι βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαὸν κραταιῶς ὑποτάττοντες. Σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπαζόμενοι, τὸν ἐν σοὶ προσπαγέντα Θεὸν δοξάζομεν λέγοντες΄ Κύριε, ὁ ἐν αὐτῷ σταυρωθείς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

***καὶ εὐθύς,ὁ β' χορός,τὸ ἀπολυτίκιον τῆς Ἑορτῆς,Ἦχος α'***

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.***(ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ)***

**14-9,** ***και Κυριακή, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α' χορὸς, Στίχ. α'.***

**Ὁ** Θεός, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ. β'.*** **Μ**ακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς, Στίχ. γ'.*** **Ὁ** Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός, Στίχ. δ'.*** **Σ**ὺ δὲ ἐν Ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός***, Δόξα Πατρὶ...***ὁ β' χορός***, Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',ὁ β' χορός, Στίχ. α'.***

**Ἵ**να τί, ὁ Θεὸς, ἀπώσω εἰς τέλος;
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Μ**νήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορός, Στίχ. γ'.*** **Ὄ**ρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ…

***ὁ α' χορὸς ,Στίχ. δ'.*** **Ὁ** δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορός***,Δόξα Πατρὶ...***ὁ α' χορός***, Καὶ νῦν... ***ὁ β' χορός***, **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος…
***Ἀντίφωνον Γ', ὁ α' χορὸς, Στίχ. α'.***
**Ὁ** Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. ***Ἦχος α'***
Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.
***ὁ β' χορός, Στίχ. β'.*** **Κ**ύριος ἐν Σιὼν μέγας καὶ ὑψηλὸς ἐστιν ἐπὶ πάντας τοὺς λαούς. **Σ**ῶσον, Κύριε, τὸν λαόν σου...
***ὁ α' χορὸς, Στίχ. γ'.*** **Ἐ**ξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστιν. **Σ**ῶσον, Κύριε, τὸν λαόν σου...
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β',*** **Ὑ**ψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιος ἐστι. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς... ***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἦχος α',*** **Σ**ῶσον Κύριε τὸν λαόν σου….
***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον, Ἦχος δ',*** **Ὁ** ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἐκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.
***Ἀντὶ τοῦ Τρισαγίου, Ἦχος β'*** , **Τ**ὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν**.**
***Ἀπόστολος (Α΄ Κορ. α΄ 18-24)., Προκείμενον ἦχος βαρὺς***
**Ὑ**ψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.
***Στίχ.*****Ὁ** Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.
Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Ἀ**δελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν. Γέγραπται γάρ΄ «΄Απολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω». Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ ΄Ιουδαῖοι σημεῖον

αἰτοῦσιν καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

***…Εἰς τό, Ἐξαιρέτως, ὁ α' χορός, Ἦχος πλ.δ'***

**Μ**υστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Διὸ νῦν ὑψουμένου προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

***…Κοινωνικὸν, ὁ β' χορός, Ἦχος δ',* Ἐ**σημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. Ἀλληλούϊα.

***…Ἀντὶ τοῦ «Εἴδομεν τό φῶς…», ὁ α' χορός, Ἦχος α',* Σ**ῶσον Κύριε τὸν λαόν σου …

**Κυριακή ηχος πλ. α', 26-9, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.***

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.***

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ.*** Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..
***Στίχ.*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.
Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...
***Ἀντίφωνον Γ', Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β',*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***26-9 Ἀπολυτίκιον Ἦχος β',*** **Ἀ**πόστολε, Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος, ὃν ἱκέτευε θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. **.**
**Τοῦ Ναοῦ, ,**
***Κοντάκιον Ἦχος β'.*** Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
***Τρισάγιον. Απόστολος 26-9, Προκείμενον ἦχος πλ.δ'.***
**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.
***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
Καθολικῆς Α' Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα ***(Α΄ Ἰω. δ΄ 12-19).***
**Θ**εὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ

υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

***…Κοινωνικόν:*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

**Κυριακή 18-10, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ***

***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.***

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.***

Αἶνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ.*** Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..

***Στίχ.*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …

***Ἀντίφωνον Γ', Στίχ.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, Ἦχος β'.*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,……ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***18-10. Ἀπολυτίκιον Ἦχος γ'.*** Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Τοῦ Ναοῦ**

***Κοντάκιον Ἦχος β'.*** Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον. *Απόστολος, τοῦ Ἁγίου, Προκείμενον. Ἦχος πλ. δ΄***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

***Στίχ.*** Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου ***4:5-11, 14-18***

Ἀδελφοί, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν ᾽Ονησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμαλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν, - καὶ ᾽Ιησοῦς ὁ λεγόμενος ᾽Ιοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν

βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν· καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε ΄Αρχίππῳ· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. ῾Η χάρις μεθ᾽ ὑμῶν· ἀμήν.
***…Κοινωνικόν:*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

**Κυριακή 16-11-2025, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ ( τὰ Ἀρχαῖα) , (Βλέπε «Ἐγκόλπιον Ἀναγνώστου καὶ Ψάλτου» σελ.175, Σημ.35 καὶ 36)***
***Ἀντίφωνον Α΄, Ἦχος β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. ***ὁ α΄ χορὸς*** , **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. ***ὁ β΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ Ἀναγνώστης: Στίχ. γ΄.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. ***ὁ α΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρί…Καὶ νῦν***…ὁμοῦ οἱ δύο χοροί,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον Β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***
**Ὁ** Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο. ***ὁ β΄ χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.
***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Κ**αὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ***ὁ α΄ χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…
***ὁ Ἀναγνώστης: Στίχ. γ΄.*** **Τ**ῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε εἰς μακρότητα ἡμερῶν. ***ὁ β΄ χορός,*** **Σ**ῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…
***ὁ Ἀναγνώστης*** , Δόξα Πατρί***… ὁ β΄ χορός,*** Καὶ νῦν***…*****Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …

***Ἀντίφωνον Γ', ὁ Ἀναγνώστης: Στίχ. α΄.***

**Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν... ***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***ὁ β' χορὸς , τοῦ Εὐαγγελιστοῦ , ἦχος γ', Ἀ***πόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***ὁ α' χορὸς*, Τοῦ Ναοῦ**

***ὁ β' χορὸς, Κοντάκιον Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνευματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

***Τρισάγιον. Ἀπόστολος τοῦ Εὐαγγελιστοῦ, Προκείμενον ἦχος πλ.δ'***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

***Στίχ.* Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

**Π**ρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Ι':11-21; ΙΑ':1-2)***

**Ἀ**δελφοί, λέγει ἡ γραφή· «Πᾶς ὁ πιστεύων ἐπί τῷ Θεῷ οὐ καταισχυνθήσεται». Οὐ γὰρ ἔστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· «Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά!». Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γὰρ λέγει· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;». Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἀλλὰ λέγω μὴ οὐκ

ἤκουσαν; Μενοῦνγε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω, ᾽Ισραήλ; Πρῶτος Μωϋσῆς λέγει· «Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς». ῾Ησαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Πρὸς δὲ τὸν ᾽Ισραὴλ λέγει· «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα». Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ ᾽Ισραηλίτης εἰμί, ἐκ σπέρματος ᾽Αβραάμ, φυλῆς Βενιαμίν. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω.

***…Κοινωνικόν, ὁ β᾽ χορός, ἦχος πλ.β᾽,*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. **Ἀ**λληλούϊα.

**21-11, και Κυριακή, (*από 21-25/11) της εορτης ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, ᾽Αντίφωνον α΄, ᾽Ηχος β΄. ὁ α᾽ χορός, Στίχ. α᾽.***

**Μ**έγας Κύριος καί αἰνετός σφόδρα.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β᾽ χορός, Στίχ. β᾽.*** **Δ**εδοξασμένα ἐλαλήθη περί σοῦ ἡ πόλις τοῦ Θεοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α᾽ χορός, Στίχ. γ᾽.*** **῾Ο** Θεός ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ β᾽ χορός, Στίχ. δ᾽.*** **Κ**αθάπερ ἠκούσαμεν, οὕτω καί εἴδομεν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α᾽ χορός,***Δόξα Πατρί…***ὁ β᾽ χορός***, Καί νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***᾽Αντίφωνον β΄.,ὁ β᾽ χορός , ᾽Ηχος ὁ αὐτός. Στίχ. α᾽.***

**῾Η**γίασε τό σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.
Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν ῾Αγίοις θαυμαστός ψάλλοντάς Σοι· ᾽Αλληλούϊα.

***ὁ α᾽ χορός, Στίχ. β᾽.*** **Α**γιωσύνη καί μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. **Σ**ῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν ῾Αγίοις…

***ὁ β᾽ χορός, Στίχ. γ᾽.*** **Α**ὕτη ἡ πύλη Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. **Σ**ῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν ῾Αγίοις…

***ὁ α᾽ χορός, Στίχ. δ᾽.*** **῞Α**γιος ὁ ναός σου, θαυμαστός ἐν δικαιοσύνῃ. **Σ**ῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν ῾Αγίοις…

***ὁ β' χορός***, Δόξα Πατρὶ... ***ὁ α' χορός***, Καὶ νῦν... ***ὁ β' χορός***, **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …

***Ἀντίφωνον γ΄,ὁ α' χορός,ἦχος δ΄, Στίχ. α'.***

**Τ**ό πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν΄ Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

***ὁ β' χορός, Στίχ. β'.*** **Π**ᾶσα ἡ δόξα τῆς θυγατρός τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. **Σ**ήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον...

***ὁ α' χορός, Στίχ. γ'.*** **Ἀ**πενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. **Σ**ήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον...

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός , Ἦχος β',***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός.***(Κυριακή: ο αναστάς εκ νεκρων)*** ***...ὁ β' χορὸς,*** ...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

……

***<u>Κυριακή</u>: Αναστάσιμον απολυτίκιον***

***……***

***ὁ α' χορός, Ἦχος δ',*** **Σ**ήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον…

***Κοντάκιον (από 8 έως 25-11, πλήν της 20-11)Ἦχος δ',Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

***<u>Τρισάγιον</u>, Ἀπόστολος τῆς Θεοτόκου (Ἑβρ.Θ' 1-7),Προκείμενον ἦχος γ'.***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται

Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω δὲ αὐτῆς Χερουβεὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

***…Είς τό, Ἐξαιρέτως ,ὁ α' χορός,ἦχος δ', Στίχ.*** **Ἄ**γγελοι τήν Εἴσοδον τῆς Παρθένου ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος εἰσῆλθεν εἰς τά Ἅγια τῶν Ἁγίων. ***Ὁ Εἱρμὸς,*** **Ὡ**ς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων· χείλη δὲ πιστῶν, τῇ Θεοτόκῳ ἀσιγήτως, φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω· Ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε ἁγνή.

***…Κοινωνικὸν, ὁ β' χορός ,ἦχος δ',*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἀ**λληλούϊα.

**30-11,** ***ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.***Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄.***

***Στίχ***. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Στίχ***. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
***Στίχ***. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..
**Στίχ**.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.
Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…
***Ἀντίφωνον Γ', Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός,***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν ***(καθημερινή: ὁ ἐν Ἁγίοις θαυμαστός),***…….…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Ἀπολυτίκιον Ἦχος δ' ,*** Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τὸν Δεσπότην τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
…….
***ΚΑΘΗΜΕΡΙΝΗ: Ἀντίφωνον Γ' , ὁ α' χορός, Στίχ.***
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.
***Ἀπολυτίκιον Ἦχος δ',*** Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος,...
***ὁ β' χορὸς, Στίχ.***
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος...
***Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός,***
Δεῦτε προσκυνήσωμεν …

***ὁ α' χορός,Ἀπολυτίκιον. Ἦχος δ'.*** Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος…

***ὁ β' χορός,*** **Τοῦ <u>Ναοῦ</u>,**

**……**

**ὁ β' χορός, Τοῦ <u>Ναοῦ</u>, *ὁ α' χορός,Κοντάκιον Προεόρτιον Ἦχος γ'***

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως, Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

**<u>Τρισάγιον</u>., Ἀπόστολος, *Τοῦ Πρωτοκλήτου (Α΄ Κορ. δ΄ 9-16)., Προκείμενον ἦχος πλ.δ'***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

***Στίχ.*** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα, ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας, ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

***…ὁ β' χορός, Κοινωνικὸν <u>καθημερινή</u>,***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Ἀλληλούϊα.

**25-12, (και Κυριακή), Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ**

**ΧΡΙΣΤΟΥ.*ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ,᾽Αντίφωνον α΄, ᾽Ηχος β΄.Στίχ.᾽.***

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου,...

***Στίχ.᾽.᾽***Ἐξομολόγησις καί μεγαλοπρέπεια τό ἔργον αὐτοῦ, καί ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα τοῦ αἰῶνος. Ταῖς πρεσβείαις τῆς Θεοτόκου,...

***Στίχ.*** Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου,...

Δόξα Πατρὶ…Καί νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Ἀντίφωνον Β᾽, ᾽Ηχος ὁ αὐτὸς.***

***Στίχ.*** Μακάριος ἀνήρ, ὁ φοβούμενος τόν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς Σοι· ᾽Αλληλούϊα.

***Στίχ.*** Δυνατόν ἐν τῇ γῇ ἔσται τό σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, **...**

***Στίχ.*** Δόξα καί πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καί ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα τοῦ αἰῶνος. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ….**...**

***Στίχ.*** ᾽Εξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ….

Δόξα Πατρί…Καὶ νῦνὶ…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...

***Ἀντίφωνον Γ᾽Στίχ. α᾽***

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἄν θῶ τούς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

***Ἀπολυτίκιον ᾽Ηχος δ᾽***

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως, ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

***Εἴσοδος.Εἰσοδικὸν.*** Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς…ψάλλοντάς σοι, Ἀλληλούϊα**.**

***Ἀπολυτίκιον. Ἦχος δ'.***

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς **...**

***τὸ Κοντάκιον Ἦχος γ'***

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι΄ δι' ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

***Ἀντὶ δὲ τοῦ Τρισαγίου, Ἦχος α'.*** Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

***Ἀπόστολος, Τῆς Ἑορτῆς· (Γαλ. δ΄ 4-7)., Προκείμενον ἦχος πλ.δ'***

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

***Στίχ.*** Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον, Ἀββᾶ ὁ πατήρ. Ὥστε οὐκέτι εἶ δοῦλος ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

***…Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου, Εἰς τό Ἐξαιρέτως***

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ Σπήλαιον, θρόνον Χερουβικόν, τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

……

***στην Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου (ΟΤΑΝ η 25η-12 ΕΙΝΑΙ ΚΥΡΙΑΚΗ Ἡ ΔΕΥΤΕΡΑ), Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…***

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, * πᾶσα ἡ κτίσις, * ἀγγέλων τὸ σύστημα * καὶ ἀνθρώπων τὸ γένος, * ἡγιασμένε ναὲ * καὶ

παράδεισε λογικέ, * παρθενικὸν καύχημα, * ἐξ ἧς Θεὸς ἐσαρκώθη * καὶ παιδίον γέγονεν * ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· * τὴν γὰρ σὴν μήτραν * θρόνον ἐποίησε * καὶ τὴν σὴν γαστέρα * πλατυτέραν οὐρανῶν ἀπειργάσατο. * Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, * πᾶσα ἡ κτίσις· δόξα σοι.

……

***Κοινωνικόν, Ἦχος α',*** Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Ἀλληλούϊα.᾽ ***Αντί τοῦ·*** *«Εἴδομεν τό φῶς…»****.Ἀπολυτίκιον. Ἦχος δ'.*** Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**1-1, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ *Α΄. Ἦχος α΄. Στίχ. α΄.***

Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ , δότε δόξαν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ. β΄.*** Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ. γ΄.*** Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ. δ΄.*** Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα. Καὶ νῦν...Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β΄. Ἦχος β΄.***

***Στίχ. α΄.*** Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχ. β΄.*** Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..

***Στίχ. γ΄.*** Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..

***Στίχ. δ΄.*** Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησε. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ..

Δόξα. Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος …

***Ἀντίφωνον Γ΄. Ἦχος α΄. Στίχ. α΄.***

Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ

γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.
***Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.***
Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.
***Στίχ. β΄.*** Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.
Μορφὴν ἀναλλοιώτως ...
***Στίχ. γ΄.*** Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
Μορφὴν ἀναλλοιώτως ...
***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἰσοδικόν. Ἦχος β΄.***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς,***(την Κυριακή:*** ὁ ἀναστὰς ἐκ νεκρῶν***),*** ,ψάλλοντάς σοι, Ἀλληλούϊα.
……
***Κυριακή το αναστάσιμο απολυτίκιο***
……
***Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.,*** Μορφὴν ἀναλλοιώτως ...
***Τοῦ Ἱεράρχου. Ἦχος α΄.*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.
***Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.***
***Κοντάκιον τῆς ἑορτῆς. (τῇ α΄ Ἰανουαρίου),Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***
Ὁ τῶν ὅλων Κύριος περιτομὴν ὑπομένει καὶ βροτῶν τὰ πταίσματα ὡς ἀγαθὸς περιτέμνει· δίδωσι τὴν σωτηρίαν σήμερον κόσμῳ· χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ κτίστου ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.
***ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ , ΑΠΟΣΤΟΛΟΣ, Προκείμενον καὶ Ἀλληλούϊα τῆς ἡμέρας, Προκείμενον. Ἦχος α΄. (Ψαλμὸς μη΄)***
***Στίχ.*** Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας

μου σύνεσιν.
***Στίχ.*** Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.
Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα., ***(Κολ. β΄ 8-12)***
Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.
***…καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου*** **Εἰς τό· Ἐξαιρέτως…**
Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα· ἐξ ἧς Θεὸς ἐσαρκώθη καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι**.**
***…Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν…Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.*** Μορφὴν ἀναλλοιώτως …

**Τάξις τῆς δοξολογίας ἐπὶ τῇ ἐνάρξει τοῦ νέου ἔτους.** ***Ὁ διάκονος·*** *Εὐλόγησον, Δέσποτα.* ***Ὁ ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ὁ χορός·*** Ἀμήν.***Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.***
Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ΄ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.
***Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος α΄.***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***Εἶτα τὸ κοντάκιον τῆς ἰνδίκτου. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Ὁ τῶν αἰώνων ποιητὴς καὶ δεσπότης, * Θεὲ τῶν ὅλων ὑπερούσιε ὄντως, * τὴν ἐνιαύσιον εὐλόγησον περίοδον * σῴζων τῷ ἐλέει σου τῷ ἀπείρῳ, οἰκτίρμον, * πάντας τοὺς λατρεύοντας σοὶ τῷ μόνῳ δεσπότῃ * καὶ ἐκβοῶντας φόβῳ· Λυτρωτά, * εὔφορον πᾶσι τὸ ἔτος χορήγησον.

***Εὐθὺς ἡ δοξολογία (ἐπιλογὴ στίχων).***

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (***ἅπαξ***)

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (***ἅπαξ***)

***Εἶτα αἱ ἐξῆς αἰτήσεις τῆς ἐκτενοῦς, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς ἀνὰ ἓν τριπλοῦν,*** Κύριε, ἐλέησον, ***ἐξαιρέσει τῆς ἕκτης αἰτήσεως,*** Ὑπὲρ τοῦ διαφυλαχθῆναι, ***μεθ᾽ ἣν ψάλλουν αὐτὸ ἀνὰ δέκα ἀμοιβαδὸν τετράκις, πραείᾳ τῇ φωνῇ.***

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν ***(τοῦ δεῖνος)*** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Γένους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει ἡμῶν, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.
Ἔτι δεόμεθα ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν *(ἢ τὴν Μονὴν)* καὶ τὴν πόλιν *(ἢ χώραν, ἢ νῆσον)* ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾽ ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.
Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς. ***Ὁ διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ χορός·*** Κύριε, ἐλέησον. ***Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην·***
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, ὁ ἄναρχος καὶ ἀτελεύτητος καὶ ἐπέκεινα παντὸς χρόνου νοούμενός τε καὶ ὑπάρχων, ὁ πάσης ἐκτὸς μεταβολῆς τε τῶν ὄντων καὶ ἀλλοιώσεως, ὁ τὸν πάντα χρόνον τόν τε γεγονότα τόν τε ὄντα καὶ τὸν ἐσόμενον πληρῶν, ὁ ἐν τῇ ἀφάτῳ σου μακροθυμίᾳ καταξιώσας ἡμᾶς εἰς νέον ἐνιαυτὸν τοῦ πλούτου τῆς χρηστότητός σου εἰσελθεῖν, αὐτός, πανάγαθε Δέσποτα, τὴν εἴσοδον ταύτην τῇ θείᾳ σου χάριτι εὐλόγησον· ὄμβρους εἰρηνικοὺς πρὸς καρποφορίαν τῇ γῇ δώρησαι· τοὺς ἀέρας ὑγιεινοὺς καὶ εὐκράτους ἀνθρώποις τε καὶ κτήνεσι κατασκεύασον· δὸς ἡμῖν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ βεβαίᾳ τὸν κύκλον αὐτοῦ διελθεῖν, τῷ στεφάνῳ τῆς δόξης τῶν ἀρετῶν κοσμουμένους, τῷ φωτὶ τῶν ἐντολῶν σου εὐσχημόνως ὡς ἐν ἡμέρᾳ καλῶς ὁδεύοντας· τὸ εὐσεβὲς ἡμῶν ἔθνος τῇ δυνάμει σου κραταίωσον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου

Ἐκκλησίᾳ, ἣν τῇ θείᾳ σου χάριτι καλῶς διαφύλαξον· λάλησον ἀγαθὰ ἐν ταῖς καρδίαις τῶν ἀρχόντων ἡμῶν, ἐνίσχυσον καὶ ἐνδυνάμωσον αὐτούς τε καὶ τὸν φιλόχριστον ἡμῶν στρατόν· ἐλθέτω ἐφ᾽ ἡμᾶς, Κύριε, ἡ βασιλεία σου, βασιλεία ἀγάπης, χρηστότητος, δικαιοσύνης καὶ εἰρήνης, καὶ ἀξίωσον ἡμᾶς ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ ὑμνεῖν σε καὶ δοξάζειν σε τὸν ἐν Τριάδι ἄναρχον καὶ αἰώνιον Θεὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ὁ χορός· Ἀμήν.

***Ὁ ἱερεὺς τὴν Ἀπόλυσιν·*** Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, [καὶ ἀναστὰς ἐκ νεκρῶν] Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν...***Ὁ χορός·*** Ἀμήν.

**ΤΑΞΙΣ ΤΕΛΕΤΗΣ ΚΟΠΗΣ ΒΑΣΙΛΟΠΙΤΤΑΣ.** ***Ὁ διάκονος·*** *Εὐλόγησον,* ***Δέσποτα.Ὁ ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.***Ὁ χορός·*** Ἀμήν.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

***Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος α΄.***Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***Εἶτα αἱ ἐξῆς αἰτήσεις τῆς ἐκτενοῦς ὑπὸ τοῦ διακόνου, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς ἀνὰ ἓν τριπλοῦν,*** Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν ***(τοῦ δεῖνος)*** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου καὶ γενέσθαι αὐτὸν εἰρηνικὸν καὶ σωτήριον.
Ἔτι δεόμεθα ὑπὲρ ... ***(καὶ μνημονεύει τῶν ὑπὲρ ὧν γίνεται ἡ κοπὴ τῆς Βασιλόπιττας)*** τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.
***Ὁ ἱερεύς·*** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ὁ χορός· Ἀμήν.***Ὁ διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν.***Ὁ χορός·*** Κύριε, ἐλέησον.***Ὁ ἱερεὺς τὴν εὐχήν·***
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος καὶ τὴν ζωὴν ἡμῶν εἰς χεῖρας σου διακρατῶν, ἐπάκουσον ἡμῶν δεομένων σου ἐν τῇ εὐσήμῳ ἡμέρᾳ ταύτῃ, ἐπὶ τῇ εἰσόδῳ ἡμῶν εἰς τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητός σου, καὶ εὐλόγησον τοὺς πλακοῦντας τούτους τοὺς προσφερομένους εἰς δόξαν σὴν καὶ τιμὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας. Ἐπίβλεψον μεγαλόδωρε ἐξ οὐρανοῦ ἁγίου σου καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς, τούς τε τὰ δῶρα ταῦτα εὐτρεπίσαντας καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας, τὰς οὐρανίους δωρεάς σου, ὅτι ἐπὶ σοὶ ἠλπίκαμεν, τῷ ζῶντι Θεῷ, εἰς τοὺς αἰῶνας. Εὐλόγησον τὰς εἰσόδους καὶ ἐξόδους ἡμῶν, πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν ἡμῶν καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν θείων σου ἐντολῶν, ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. Πρεσβείαις τῆς παναχράντου σου Μητρός, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου καὶ πάντων σου τῶν Ἁγίων.Ὁ χορός· Ἀμήν.***Ὁ ἱερεὺς τὴν Ἀπόλυσιν·*** Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, [καὶ ἀναστὰς ἐκ νεκρῶν] Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείας τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ

φιλάνθρωπος.Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν... ***Ὁ χορός*** Ἀμήν.

**6-1, και Κυριακή, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Τὰ παρόντα ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α΄, ὁ α᾽ χορός, Ἦχος β΄. Στίχ. α᾽.*** **Ἐ**ν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ ἐκ λαοῦ βαρβάρου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ β᾽ χορός, Στίχ. β᾽.*** **Ἐ**γενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α᾽ χορός, Στίχ. γ᾽.*** **Ἡ** θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β᾽ χορός, Στίχ. δ᾽.*** **Τ**ί σοι ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σύ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α᾽ χορός***, Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον Β᾽, ὁ β᾽ χορός, Ἦχος β᾽***
**Στίχ. α᾽**. **Ἠ**γάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α᾽ χορός, Στίχ. β᾽.*** **Ὅ**τι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...
***ὁ β᾽ χορός, Στίχ. γ᾽.*** **Π**εριέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...
***ὁ α᾽ χορός, Στίχ. δ᾽.*** **Ἐ**λεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ...
***ὁ β᾽ χορός***, Δόξα Πατρί... ***ὁ α᾽ χορός***, Καὶ νῦν καὶ ἀεὶ...***ὁ β᾽ χορός***, Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…
***Ἀντίφωνον Γ᾽, ὁ α᾽ χορός, Ἦχος α᾽***
***Στίχ. α᾽.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις, τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

***Εἴσοδος. , ὁ α' χορός, <u>Εἰσοδικὸν</u>,***

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς...***ὁ β' χορὸς...***ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός,τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς , Ἦχος α'***

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

***ὁ β' χορὸς, τὸ Κοντάκιον Ἦχος δ'***

**Ἐ**πεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

***Ἀντὶ δὲ τοῦ Τρισαγίου,*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

***Ἀπόστολος, (Τιτ. β΄ 11-14, γ΄ 4-7).Προκείμενον ἦχος δ'.***

**Ε**ὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

***Στίχ.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Τ**έκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

**……**

***6-1: Τρίτη έως Σάββατο: ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου, Εἰς τό Ἐξαιρέτως, ὁ α' χορός, Ἦχος β'***

**Μ**εγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων. **Ἀ**πορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν ἱλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε, ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου, καὶ γὰρ τὸν πόθον οἶδας,

τὸν ἔνθεον ἡμῶν, σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

……

***…6-1: Κυριακή ἡ Δευτέρα, ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου Εἰς τό, Ἐξαιρέτως τὸ Μέγα Μεγαλυνάριον, Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. *ὁ α΄ χορός, Ἦχος α΄ ἐκ τοῦ Κε.* **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

……

***Κοινωνικὸν*** *,* ***ὁ β΄ χορός*** *,* ***ἦχος βαρὺς,*** **Ἐ**πεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Ἀλληλούϊα.

***Αντί τοῦ·*** «**Ε**ἴδομεν τό φῶς...»., ***ὁ α΄ χορός, Ἀπολυτίκιον. Ἦχος α΄.*** **Ἐ**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, …

**7-1, και Κυριακή Μετά τα Φωτα,** ***Ἀντίφωνον α΄, ὁ α΄ χορός, Ἦχος β΄.***

***Στίχ. α΄.*** **Ἐ**ν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ ἐκ λαοῦ βαρβάρου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β΄ χορός, Στίχ. β΄.*** **Ἐ**γενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α΄ χορός, Στίχ. γ΄.*** **Ἡ** θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β΄ χορός, Στίχ. δ΄.*** **Τ**ί σοι ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σύ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α΄ χορός,*** Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β΄, ὁ β΄ χορός, Ἦχος β΄, Στίχ.*** **α΄**. **Ἠ**γάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ. β'***. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ…

***ὁ β' χορός, Στίχ. γ'***. **Π**εριέσχον μοι ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗροσάν με. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ…

***ὁ α' χορός, Στίχ. δ'***. **Ἐ**λεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ… ***ὁ β' χορός,*** Δόξα Πατρί… ***ὁ α' χορός,*** Καὶ νῦν καὶ ἀεὶ…***ὁ β' χορός,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,…

***Ἀντίφωνον Γ', ὁ α' χορός, Ἦχος α', Στίχ. α'.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις, τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητὸν σὲ Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

***Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός***

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

……

***Κυριακή***: Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα.

***<u>και το Αναστάσιμον Απολυτίκιον</u>***

**……**

***ὁ α' χορός , τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, Ἦχος α',*** **Ἐ**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, …

***ὁ β' χορὸς, Ἦχος β',*** Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε, ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

**ὁ α' χορὸς**, **Τοῦ <u>Ναοῦ</u>**,

***ὁ β' χορὸς, τὸ Κοντάκιον Ἦχος δ' ,*** **Ἐ**πεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν

ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες ἐφάνης τὸ Φῶς τὸ ἀπρόσιτον.

***Ἀντὶ δὲ τοῦ Τρισαγίου,*** Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

***Ἀπόστολος,*** **Ε**ὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.***Στίχ.*** **Ε**ἰσάκουσον ὁ Θεὸς, τῆς φωνῆς μου. **Π**ράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα., ***(Πράξ. ιθ΄ 1-8).***

**Ε**ν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρὼν μαθητάς τινας εἶπε πρὸς αὐτούς· εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ᾽ οὐδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ᾽ ἔστιν εἰς τὸν Ἰησοῦν Χριστόν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

*…**Εἰς τό᾽Εξαιρέτως, ὁ α᾽ χορός , Ἦχος β᾽***

**Μ**εγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. **Ὦ** τῶν ὑπὲρ νοῦν, τοῦ τόκου σου θαυμάτων! Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη, Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας, Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ, Δῶρον φέροντες ὕμνον εὐχαριστίας.

***…Κοινωνικὸν ,ὁ β᾽ χορός,*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος. **Ἀ**λληλούϊα. ***Αντί τοῦ*** «**Ε**ἴδομεν τό φῶς…». ***ὁ α᾽ χορός, Ἀπολυτίκιον. Ἦχος α᾽.*** **Ἐ**ν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε…

**30-1,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑἈντίφωνον α'Ἦχος β'ὁ α᾽ χορὸς,*** **Στίχ. α'.**

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸς. Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορὸς Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β'ὁ β'χορὸς*, Στίχ. α'.**
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ α' χορὸς,*** Δόξα Πατρὶ...***ὁ β' χορὸς.*** Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος …
***Ἀντίφωνον Γ'ὁ α' χορός*, Στίχ.**
**Κ**αυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
**Ἀπολυτίκιον Ἦχος α'**. **Τ**οὺς τρεῖς μεγίστους φωστῆρας τῆς Τρισηλίου θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας, τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας, τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τὸν μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτταν χρυσοῤῥήμονι, πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ὑμῶν ἀεὶ πρεσβεύουσιν.
***Εἴσοδος. Εἰσοδικὸνὁ α' χορός.*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός,Ἀπολυτίκιον Ἦχος α'***. **Τ**οὺς τρεῖς μεγίστους φωστῆρας …

***ὁ β' χορός, Ἀπολυτίκιον*** ***Ἦχος δ'***, **Ὡ**ς τῶν Ἀποστόλων ὁμότροποι, καὶ τῆς οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

***ὁ α' χορός.*****Τοῦ <u>Ναοῦ</u>**

***ὁ β' χορός, Κοντάκιον*** ***Ἦχος α'***, **Ὁ** μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

***Τρισάγιον.Ἀπόστολος (Ἑβρ. ιγ΄ 7-16).Προκείμενον ἦχος πλ.δ'***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Ἑβρ. ιγ΄ 7-16)***

**Ἀ**δελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατοῦντες. Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ' ἔστιν καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

***…ὁ β' χορόςΚοινωνικὸν.*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.

**Κυριακή, 30-1(εκτός Τριωδίου και το Ευαγγέλιον ειναι των αγίων),** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,…***
***Ἀντίφωνον Γ΄. Ἦχος βαρύς. (Ψαλμὸς ριζ΄) Στίχ. α΄.***
Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ Εἰσοδικόν. Ἦχος β΄***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν… ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Ἀπολυτίκιον ἀναστάσιμον.***
***Ἀπολυτίκιον τῶν Ἁγίων Ἱεραρχῶν. Ἦχος α΄. Αὐτόμελον.***
Τοὺς τρεῖς μεγίστους φωστῆρας …
***Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ* Ναοῦ.**
***Κοντάκιον τῆς Ὑπαπαντῆς. Ἦχος α΄. Αὐτόμελον. (από 15-1 έως αποδόσεως, πλήν 1-2)***
Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ …
**ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ**
***Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων***
…… ***Κοινωνικόν***. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐ- τῶν. Ἀλληλούϊα.

**2-2, (Κυριακή, της Υπαπαντης)** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ ΤΗΣ ΕΟΡΤΗΣ, Ἀντίφωνον Α', ὁ α' χορὸς***
***Στίχ.*** **Ἐ**ξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορὸς, Στίχ.*** **Ἡ** γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ α' χορὸςΣτίχ.*** **Ἐ**ξεχύθη χάρις ἐν χείλεσί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ β' χορὸς, Στίχ.*** **Δ**ιὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β' χορὸς,*** *Καὶ* νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β', ὁ β' χορὸς***

***Στίχ.*** **Π**ερίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορόςΣτίχ.*** **Κ**αὶ ἔντειναι καὶ κατευοδοῦ καὶ βασίλευε. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορὸςΣτίχ.*** **Τ**ὰ βέλη σου ἡκονημένα δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

***ὁ α' χορόςΣτίχ.*** **Ῥ**άβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορός,*** Δόξα Πατρὶ***...ὁ α' χορός,*** Καὶ νῦν... ***ὁ β' χορός,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...

***Ἀντίφωνον Γ', ὁ α' χορὸς***

***Στίχ.*** **Ἄ**κουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.

***Ἦχος α',*** Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

……

**Εἰσοδικὸν εκτός Κυριακης,ὁ α' χορός , Ἦχος β',**

**Ἐ**γνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν Ἐθνῶν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς,... ***ὁ β' χορός*** ...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

……

***Κυριακή: Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β'***

**Ἐ**γνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν Ἐθνῶν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***Αναστάσιμον Ἀπολυτίκιον***

**……**

***ὁ β' χορὸς, τῆς Ἑορτῆς, Ἦχος α',*** **Χ**αῖρε κεχαριτωμένη Θεοτόκε ...

***ὁ α' χορός, Κοντάκιον Ἦχος α', (από 15-1 έως αποδόσεως, πλήν 1-2)***

**Ὁ** μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

***Τρισάγιον., ,2-2, Ἀπόστολος τῆς Ἑορτῆς , Προκείμενον ἦχος γ'***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

**Π**ρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**.** ***(Κεφ. ζ' 7-17)***

**Ἀ**δελφοί, χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Καὶ ὧδε μὲν δεκάτας ἀποθνῄσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ. Καὶ ὡς ἔπος εἰπεῖν, δι᾽ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων δεδεκάτωται, ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ. Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, (ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ νενομοθέτητο), τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδέκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ· Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησεν. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, μαρτυρεῖ γὰρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

***....Εἰς τό Ἐξαιρέτως, ὁ α' χορός , ᾠδὴ θ', ἦχος γ', Στίχ.*** **Θ**εοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ. **Ἐ**ν νόμου, σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί, πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ, διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ, μεγαλύνομεν.

***...Κοινωνικόν, ὁ β' χορός,*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἀ**λληλούια. **ᾗ Ἐ**γνώρισε

Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν· Ἀλληλούια.

**25-3, και Κυριακή, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α΄. Ἦχος β΄.* Στίχ. α΄.**
Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
***Στίχ. β΄.*** Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοσύνην. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***Στίχ. β΄.*** Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***Στίχ. δ΄.*** Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα… Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον Β΄. Ἦχος β΄.***
***Στίχ. α΄.*** Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι Ἀλληλούϊα.
***Στίχ. β΄.*** Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς...
***Στίχ. γ΄.*** Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς...
**Στίχ. δ΄.** Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς...
Δόξα… Καὶ νῦν...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ...
***Ἀντίφωνον Γ΄. Ἦχος δ΄.***
***Στίχ. α΄.*** Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.
***Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.***
Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ᾽ αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.
***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἰσοδικόν. Ἦχος β΄.***

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας * τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. * Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ δι᾽ ἡμᾶς σαρκωθείς, * ***(Κυριακή:*** *ὁ ἀναστὰς ἐκ νεκρῶν…)* ψάλλοντάς σοι· Ἀλληλούϊα.

**……**

***Κυριακή: το Αναστάσιμον απολυτίκιον***

**……**

***Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄,*** Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον…***(την Κυριακή μία φορά)***

***Τὸ αὐτὸ ὑπὸ τῶν χορῶν.*** Σήμερον τῆς σωτηρίας …

***Κοντάκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε, νύμφη ἀνύμφευτε.

***ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ, ΑΠΟΣΤΟΛΟΣ, Προκείμενον καὶ Ἀλληλούϊα τῆς ἑορτῆς. Προκείμενον. Ἦχος γ΄. Ἰωδὴ τῆς Θεοτόκου (Λουκ. α΄ 46-49).***

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

***Στίχ. α΄.*** Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(β΄ 11-18)***

Ἀδελφοί, ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε»· καὶ πάλιν· «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ»· καὶ πάλιν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός». Ἐπεὶ οὖν «τὰ παιδία» κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ᾽ ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ «σπέρματος Ἀβραὰμ» ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς «ἀδελφοῖς» ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

***(Κυριακή: Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου)***

***…Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…Ὠιδὴ θ΄. Ἦχος δ΄.***

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων· χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω· Χαῖρε Κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ.

***…Κοινωνικόν***.Ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

**24-6, (εκτός Πεντηκοσταρίου), *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ , Ἀντίφωνον α΄, Ἦχος β΄, ὁ α΄ χορὸς***

***Στίχ. α΄.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β΄χορὸς, Στίχ. β΄.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α΄ χορὸς ,Στίχ. γ΄.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί… Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β΄, ὁ β΄χορὸς, Στίχ. α΄.*** **Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α΄ χορὸς, Στίχ. β΄.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…

***ὁ β΄ χορὸς, Στίχ. γ΄.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…

***ὁ α΄ χορός***, Δόξα Πατρὶ… , ***ὁ β΄ χορός***, Καὶ νῦν καὶ ἀεὶ…**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος …

***Ἀντίφωνον Γ΄, ὁ α΄ χορός, Στίχ.***

**Κ**αὶ σύ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

***Ἀπολυτίκιον ἦχος δ'***

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται**.**

***Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος δ', Π***ροφῆτα καὶ Πρόδρομε…

***ὁ β' χορὸς*** , **Τοῦ <u>Ναοῦ</u>**

***Κοντάκιον , ὁ α' χορὸς , ἦχος β', Π***ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**<u>Τρισάγιον</u>, *᾽Απόστολος του Προδρόμου (᾽Ρωμ. ιγ΄ 11-14, ιδ΄1-4), Προκείμενον ἦχος βαρύς.***

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

***Στίχ.*** **Ε**ἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν΄ ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, ἐνδυσώμεθα δὲ τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλὰ ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, ὁ δὲ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ, δυνατεῖ γὰρ ὁ κύριος στῆσαι αὐτόν.

***…Κοινωνικόν***: **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

**24-6, Κυριακή, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ , Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς***

***Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸς, Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορὸς ,Στίχ. γ'.*** Ὅ**τ**ι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί… Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β'. ὁ β'χορὸς***

***Στίχ. α'.*** **Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ …

***ὁ β' χορὸς, Στίχ. γ'.*** Ὅ**τ**ι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ …

***ὁ α' χορός,*** Δόξα Πατρὶ… , ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ…**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος …

……

***Ἀντίφωνον Γ', ὁ Ἀναγνώστης: Στίχ. α΄.***

**Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…..***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, **Ἀ**λληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***ὁ β' χορός, Ἀπολυτίκιον ἦχος δ'***

**Π**ροφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύτεται.

***ὁ α' χορός, Τοῦ <u>Ναοῦ</u>***

**……**

***ΚΑΘΗΜΕΡΙΝΗ: Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ.***

Καὶ σύ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

***Ἀπολυτίκιον ἦχος δ',*** Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

***ὁ β' χορός. Στίχ.*** Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καί ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Προφῆτα καὶ Πρόδρομε...

***Εἰσοδικὸν, ὁ α' χορός***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος δ',*** Προφῆτα καὶ Πρόδρομε…

***ὁ β' χορὸς , Τοῦ <u>Ναοῦ</u>***

**……**

***Κοντάκιον , ὁ α' χορὸς , Ἦχος β',*** **Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

***<u>Τρισάγιον</u>᾽ Απόστολος (῾Ρωμ. ιγ΄ 11-14, ιδ΄1-4)***

***Προκείμενον ἦχος βαρύς.***

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

**Στίχ. Ε**ἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία…

***…Κοινωνικόν:*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

**29-6 ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,**Α***ΝΤΙΦΩΝΑ , Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς ,Στίχ. α'.***

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸς, Στίχ. β'***. Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορὸς ,Στίχ. γ'.*** Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί… Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β', ὁ β'χορὸς,Στίχ. α'.***

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς ,Στίχ. β'.*** Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…

***ὁ β' χορὸς,Στίχ. γ'.*** Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…

***ὁ α' χορός,*** Δόξα Πατρὶ… , ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…

**Ἀντίφωνον Γ'**, **ὁ α' χορός,Στίχ.**

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

***Ἀπολυτίκιον Ἦχος δ'***

**Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

***ὁ β' χορὸς,Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

**Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι...

**Εἴσοδος. Εἰσοδικὸν**,***ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος δ'.*** **Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι…

***ὁ β' χορός***, **Τοῦ <u>Ναοῦ</u>**,

***ὁ α' χορός***, ***Κοντάκιον Ἦχος β'***, **Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**<u>Τρισάγιον</u>**.***Ἀπόστολος (Β΄ Κορ. ια΄ 21–33, ιβ΄1-9). Προκείμενον ἦχος πλ.δ'***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθίους Β' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. Ἑβραῖοί εἰσι; Κἀγώ. ᾽Ισραηλῖταί εἰσι; Κἀγώ΄ σπέρμα ᾽Αβραάμ εἰσι; Κἀγώ΄ διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν φυλακαῖς περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις· ὑπὸ ᾽Ιουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις΄ ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· χωρὶς τῶν παρεκτὸς ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ᾽Ιησοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν

Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων, καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δεῖ· οὐ συμφέρει με, ἐλεύσομαι δὲ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων -εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν- ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον -εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν- ὅτι ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἄῤῥητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων, ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ· καὶ εἴρηκέν μοι ΄Αρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμις ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

***...Κοινωνικόν, ὁ β' χορός,*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. **Ἀ**λληλούϊα.

**29-6, Σάββατο Απόδοσις της Πεντηκοστης, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', ἮΗχος β',Στίχ.***

**Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

***ὁ α' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** **Ἡ**μέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ***ὁ β' χορὸς .*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Ο**ὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ***ὁ α' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου.

**Στίχ. Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***ὁ β' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...***Οἱ δύο χοροὶ ὁμοῦ,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',Στίχ.***

**Ἐ**πακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχ.*** **Ἐ**ξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ***ὁ α' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***Στίχ.,*** **Μ**νησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. ***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***ὁ α' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...

***Ἀντίφωνον Γ',Στίχ.***

**Κ**ύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

***ὁ α' χορὸς*** , ***Ἦχος πλ. δ',*** Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

***Εἰσοδικὸν, ὁ α' χορός*** **Ὑ**ψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι. Ἀλληλούϊα**.**

***ὁ α' χορός*** , ***Ἦχος πλ. δ',*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

……

***ὁ β' χορὸς, Ἀπολυτίκιον.Ἦχος δ'***

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

……..

***Κοντάκιον ,ὁ β' χορὸς,*** **Ἦχος πλ. δ'**

**Ὅ**τε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα

πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.
***Τρισάγιον. Ἀπόστολος (Β΄ Κορ. ια΄ 21–33, ιβ΄1-9). Προκείμενον ἦχος πλ.δ΄***
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
***Στίχ.*** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.
Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
Ἀδελφοί, ἐν ᾧ δ΄ ἄν τις τολμᾷ,...
***...Εἰς τὸ Ἐξαιρέτως, Ὁ Εἱρμὸς τῆς θ΄ᾠδῆς ἦχος δ΄***
Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος.
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν, ὅθεν σὲ συμφώνως δοξάζομεν.
**...Κοινωνικὸν,ὁ β΄ χορὸς ἦχος βαρὺς**
**Τ**ὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. **Ἀ**λληλούϊα.

**29-6,** ***Κυριακή, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τὰ Ἀρχαῖα) ,Ἀντίφωνον Α΄, ὁ α΄ χορός, Ἦχος β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
***ὁ α΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***Στίχ. β΄.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.
***ὁ β΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ Ἀναγνώστης: Στίχ. γ΄.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.
***ὁ α΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρί...Καὶ νῦν...***ὁμοῦ οἱ δύο χοροί,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον Β΄, ὁ Ἀναγνώστης: Στίχ. α΄.***
**Ὁ** Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.
***ὁ β΄ χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, (***καθημερινή:*** ὁ ἐν Ἁγίοις θαυμαστός) ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ Ἀναγνώστης: Στίχ. β΄.*** **Κ**αὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
***ὁ α' χορός*, Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…
***ὁ Ἀναγνώστης: Στίχ. γ΄.*** **Τ**ῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε εἰς μακρότητα ἡμερῶν.
***ὁ β' χορός*, Σ**ῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν... Δόξα Πατρί... ***ὁ β' χορός***, Καὶ νῦν...**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …
……
***Ἀντίφωνον Γ', ὁ Ἀναγνώστης: Στίχ. α΄.***
**Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ <u>ἀναστάς</u> ἐκ νεκρῶν.....***ὁ β' χορὸς***...**Ψ**άλλοντάς σοι, **Ἀ**λληλούϊα.
***ὁ α' χορός , ΑΝΑΣΤΑΣΙΜΟΝ ΑΠΟΛΥΤΙΚΙΟΝ…***
***ὁ β' χορός, Ἦχος δ'***
**Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
***ὁ α' χορός , Τοῦ <u>Ναοῦ</u>***
**……**
***ΚΑΘΗΜΕΡΙΝΗ: Ἀντίφωνον Γ', ὁ α' χορός,Στίχ.***
**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
***Ἀπολυτίκιον Ἦχος δ'*, Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
***Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**Ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος δ'.* Ο**ἱ τῶν Ἀποστόλων πρωτόθρονοι…
***ὁ β' χορός, Τοῦ <u>Ναοῦ,</u>***
……

***ὁ β' χορός, Κοντάκιον , Ἦχος β'.*** **Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν΄ ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

***Τρισάγιον. Ἀπόστολος τῶν Κορυφαίων, Προκείμενον ἦχος πλ.δ'***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθίους Β' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

***(Β΄ Κορ. ια΄ 21–33, ιβ΄1-9).***

**Ἀ**δελφοί, ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, …

***…Κοινωνικόν, ὁ β' χορός, ἦχος β'***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. **Ἀ**λληλούϊα.

**30-6** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΚΥΡΙΑΚΗ Α' Ματθαίου, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.***Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος β΄.***

***Στίχ.*** Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ***. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..
***Στίχ***.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ...
***Ἀντίφωνον Γ', ὁ α' χορός***
***Στίχ***. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
***Ἀπολυτίκιον Ἦχος γ',*** Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***ὁ β' χορὸς, Στίχ***. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε...
***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν Ἦχος β',***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος δ'.*** Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
***ὁ β' χορός, Ἀπολυτίκιον Ἦχος γ',*** Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.
***ὁ α' χορός, Τοῦ <u>Ναοῦ.</u>***
***ὁ β' χορός, Κοντάκιον, Ἦχος β'.*** Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
***<u>Τρισάγιον</u>., Ἀπόστολος, (Α΄ Κορ. δ΄ 9-16)., Προκείμενον ἦχος πλ.δ'.***
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
***Στίχ***. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.
Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, δυσφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα, ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας, ἐν γὰρ Χριστῷ ᾽Ιησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

***…Κοινωνικόν,ὁ β᾽ χορός,*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.

**30-6 και Κυριακή των Αγίων Πάντων**, ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΚΥΡΙΑΚΗ Α᾽ Ματθαίου, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α᾽, ᾽Ηχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.***Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρί…Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β᾽, ᾽Ηχος β΄. Στίχ.***

Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Στίχ***. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

***Στίχ***. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..

***Στίχ***.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…

Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…

***Ἀντίφωνον Γ΄, Ἦχος α΄. Στίχ. α΄.***

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

***Μικρὰ Εἴσοδος.Εἰσοδικὸν Ἦχος β΄,***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστάς ἐκ νεκρῶν…ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Ἀπολυτίκιον ἀναστάσιμον.***

…….

***30-6, Τῶν ΙΒ΄, ὁ β΄ χορός , Ἀπολυτίκιον Ἦχος γ΄***

Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

…….

***ὁ β΄ χορός, Τῶν Ἁγίων Ἦχος δ΄***

**Τ**ῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

***Τοῦ Ναοῦ, Κοντάκιον Ἦχος πλ.δ΄***

**Ὡ**ς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς θεοφόρους Μάρτυρας, ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον, πολυέλεε**.**

**Τρισάγιον**. ***΄Απόστολος τῶν Ἁγίων Πάντων (Εβρ. ια΄ 33 – ιβ΄ 2). Προκείμενον ἦχος πλ.δ΄***

**Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

***Στίχ.*** Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
**Ἀ**δελφοί, οἱ Ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι΄ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.
***…Κοινωνικόν,ὁ β' χορός ,ἦχος πλ.δ'*** **Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα.
***Εἰς τοὺς πανηγυρίζοντας ναούς. ἦχος πλ.δ.*** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.

**<u>ευχή σταφυλιων 6-8, *μετά την οπισθάμβωνον ευχή ψάλλουμε το απολυτίκιο της Μεταμορφώσεως.Ἀντὶ τοῦ «Εἴδομεν τό φῶς…» , ὁ α' χορός , Ἦχος βαρὺς*</u>**
**Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἄϊδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.
Δόξα…και νυν…***κοντάκιον:'Ε***πὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς

ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.***και ο ιερέας την ευχή***

Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τὸν νέον, ὃν διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ τῶν σταγόνων τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμοτάτην στάσιν ἐλθεῖν ηὐδόκησας, ἵνα ᾖ ἐν ἡμῖν τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν εἰς εὐφροσύνην, καὶ τοῖς προσενέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ***Ἀπόλυσις***, «...῾Ο ἐν τῷ ὄρει τῷ Θαβώρ μεταμορφωθείς ἐν δόξῃ ἐνώπιον τῶν ῾Αγίων αὐτοῦ Μαθητῶν καί ΄Αποστόλων, Χριστός ὁ ἀληθινός...». Δι᾽εὐχῶν…

**6-8, (και Κυριακή)** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ ΤΗΣ ΕΟΡΤΗΣ , Ἀντίφωνον Α', ὁ α' χορός, Στίχ. α'.***

**Μ**έγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ. β'.*** **Ἑ**τοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός, Στίχ. γ'.*** **Ὁ** ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός, Στίχ. δ'.*** **Τ**ὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός***, Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β', ὁ β' χορός, Στίχ. α'.***

**Ο**ἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ. β'.*** **Ἀ**γαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα, Ἰακώβ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς...

***ὁ β' χορός, Στίχ. γ'.*** **Δ**εδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς...
***ὁ α' χορός, Στίχ. δ'.*** **Μ**ήτηρ Σιών, ἐρεῖ ἄνθρωπος. καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς…
***ὁ β' χορός,*** Δόξα Πατρὶ... , ***ὁ α' χορός,*** Καὶ νῦν…, ***ὁ β' χορός ,*** Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...
***Ἀντίφωνον Γ', ὁ α' χορός , Στίχ. α'.***
**Τ**ὰ ἔλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ἄσομαι. ***Ἦχος βαρὺς***
Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἄϊδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.
***ὁ β' χορός, Στίχ. β'.*** **Ἐ**ξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε. **Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός...
***ὁ α' χορός, Στίχ. γ'.*** **Μ**ακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. **Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός...
***ὁ β' χορός, Στίχ. δ'.*** **Κ**ύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν. **Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός...
***Εἰσοδικὸν, ὁ α' χορός,*** **Ὅ**τι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτὶ σου ὀψόμεθα φῶς, Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς... ***ὁ β' χορός...ψ***άλλοντάς σοι΄ **Ἀ**λληλούϊα.
***ὁ α' χορός, , Ἀπολυτίκιον Ἦχος βαρὺς,*** **Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, …
***ὁ β' χορός , Κοντάκιον, Αὐτόμελον Ἦχος βαρὺς,*** **Ἐ**πὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.
***Τρισάγιον. Ἀπόστολος (Β΄ Πέτρ. Α΄ 10-19). Προκείμενον ἦχος δ'***
**Ὡ**ς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε΄πάντα ἐν σοφίᾳ ἐποίησας.
***Στίχ.*** **Ε**ὐλόγει ἡ ψυχὴ μου, τὸν Κύριον.
**Κ**αθολικῆς Β' Ἐπιστολῆς Πέτρου τὸ ἀνάγνωσμα.

**Ἀ**δελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε· Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ἀεὶ ὑμᾶς ὑπομιμνῄσκειν περὶ τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ´ ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ´ ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐτῷ τοιάσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός μου , εἰς ὃν ἐγὼ εὐδόκησα,- καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

... ***Εἰς τό ΄Εξαιρέτως, ὁ α΄ χορός, Τό τροπάριον τῆς ζ΄ ΄Ωιδῆς τοῦ β΄ Κανόνος τῆς ΄Εορτῆς· , ΄Ηχος πλ.δ΄*** Νῦν τὰ ἀνήκουστα ἠκούσθη, ὁ ἀπάτωρ γὰρ Υἱὸς ἐκ τῆς Παρθένου, τῇ πατρῴᾳ φωνῇ, ἐνδόξως μαρτυρεῖται, οἷα Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας.

***...ὁ β΄ χορός, Κοινωνικὸν , ἦχος δ΄,*** **Ἐ**ν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε, πορευσόμεθα εἰς τὸν αἰῶνα. **Ἀ**λληλούϊα.***...Ἀντὶ τοῦ «Εἴδομεν τό φῶς...», ὁ α΄ χορός , ΄Ηχος βαρὺς,*** **Μ**ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός,...

**15-8, (και Κυριακή),** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α΄, ὁ α΄ χορὸς, Στίχ. α΄.***

**Ἀ**λαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β΄ χορός,Στίχ. β΄.*** **Ἐ**ξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς,Στίχ. γ'.*** **Ἐ**ν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει Θεοῦ ἡμῶν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός,Στίχ. δ'.*** **Ἐ**γενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρί...***ὁ β' χορός,*** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', ὁ β' χορός,Στίχ. α'.***

**Ἀ**γαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ***(Κυριακή****: ὁ ἀναστάς ἐκ νεκρῶν,)* ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Δ**εδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορός, Στίχ. γ'.*** **Ὁ** Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ α' χορὸς, Στίχ. δ'.*** **Ἡ**γίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορός,*** Δόξα Πατρὶ... ***ὁ α' χορός,*** Καὶ νῦν***... ὁ β' χορός.*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ…

***Ἀντίφωνον Γ',ὁ α' χορὸς,Στίχ. α'.***

**Ἑ**τοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου. ***Ἦχος α'***

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας. Ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε, Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

***ὁ β' χορός,Στίχ. β'.*** **Τ**ί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; **Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν...

***ὁ α' χορὸς,Στίχ. γ'.*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν...

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν, ὁ α' χορός, Ἦχος β',*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός**(*Κυριακή****: ὁ ἀναστάς ἐκ νεκρῶν,)...*ὁ β' χορὸς*...**ψ**άλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

……..

***Κυριακή: Αναστάσιμον απολυτίκιον***

***……..***

***ὁ α' χορός,Ἦχος α',*** **Ἐ**ν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας…

***ὁ β' χορὸς,Κοντάκιον ἦχος πλ.β' ,Αὐτόμελον***

**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν, ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

**Τρισάγιον,** ***Ἀπόστολος (Φιλιπ. β΄ 5-11).Τῆς Ἑορτῆς· Προκείμενον ἦχος γ'***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·

**Π**ρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**Ἀ**δελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.

***…Εἰς τό, Ἐξαιρέτως ,ὁ α' χορός,Ἦχος α'.*** **Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον. **Ν**ενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε, παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

***…Κοινωνικὸν, ὁ β' χορός,*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἀ**λληλούϊα.

**29-8,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνα, Ἀντίφωνον α',Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸς, Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορὸς , Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρί... Καὶ νῦν**...Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***
Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς,Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…
***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…
***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ...**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος …
***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ.***
**Δ**ίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
***Ἀπολυτίκιον. Ἦχος β΄.***
Μνήμη Δικαίου μετ' ἐγκωμίων΄ σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε΄ ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.
***ὁ β' χορός, Στίχ.*** **Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτὸν καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
**Μ**νήμη Δικαίου μετ' ἐγκωμίων΄....
***Εἰσοδικὸν, ὁ α' χορός***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος β΄.***
**Μ**νήμη Δικαίου μετ' ἐγκωμίων…

***ὁ β' χορός, Τοῦ <u>Ναοῦ,</u> ὁ α' χορός, Κοντάκιον , Ἦχος δ' , Αὐτόμελον***

**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου, αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι. Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**<u>Τρισάγιον</u>. *Απόστολος, Τοῦ Προδρόμου (Πράξ. ιγ΄ 25-32).***

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

***Στίχ.*** **Ε**ἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

**Π**ράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

**Ἐ**ν ταῖς ἡμεραῖς ἐκείναις, ὡς ἐπλήρου ᾽Ιωάννης τὸν δρόμον, ἔλεγε· τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμί ἐγώ, ἀλλ᾽ ἰδοὺ ἔρχεται μετ᾽ ἐμὲ οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. ῞Ανδρες ἀδελφοί, υἱοὶ γένους ᾽Αβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν ᾽Ιερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας κρίναντες ἐπλήρωσαν, καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ᾐτήσαντο Πιλᾶτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς ᾽Ιερουσαλήμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν, ἡμῖν, ἀναστήσας ᾽Ιησοῦν.

…***Κοινωνικόν, ὁ β' χορός:*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

**29-8, Κυριακή, *ηχος α', ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.***Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
***Στίχ.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
***Στίχ.*** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρί…Καὶ νῦν...Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον Β', Ἦχος β΄.Στίχ.***
Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.
***Στίχ.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
***Στίχ.*** Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς..
***Στίχ.*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς…
Δόξα Πατρὶ…Καὶ νῦν…Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...
***Ἀντίφωνον Γ', Στίχ.***
Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, Ἦχος β'***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν,…ψάλλοντάς σοι, Ἀλληλούϊα.
***<u>Ἀπολυτίκιον ἀναστάσιμον.</u>***
***Ἀπολυτίκιον τοῦ ἁγίου Προφήτου,Ἦχος β'***
Μνήμη Δικαίου μέτ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί,

τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

***Τοῦ Ναοῦ, Κοντάκιον ,Ἦχος δ',Αὐτόμελον***

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Τρισάγιον. *Απόστολος,29. Ἡ ἀποτομή τῆς τιμίας Κεφαλῆς τοῦ Τιμίου καί Ἐνδόξου Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου.***

***Προκείμενον. Ἦχος βαρὺς***

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

***Στίχ.*** Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα ***13:25-32***

Ἐν ταῖς ἡμέραις ἐκείναις,...

***…….Κοινωνικὸν.*** Εἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος. Ἀλληλούια.

**Ο Χορός στην Θεία Λειτουργία στις εξης εορτές: Ψυχοσάββατον, Σάββατον του Λαζάρου, ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΠΕΜΠΤΗι (πρωΐ), ΤΩι ΑΓΙΩι ΚΑΙ ΜΕΓΑΛΩι ΣΑΒΒΑΤΩι (πρωΐ), Άγιος Γεώργιος με Δευτέρα Διακαινησίμου, Παρασκευή Διακαινησίμου, Πέμπτη της Αναλήψεως του Σωτηρος, Δευτέρα του Αγίου Πνεύματος, 20-7, 26-7, 27-7, 8-9, 28-10, 8-11, 9-11, 6-12, 24-12, 5-1.**

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: *Σεπ*.** 23-9, 24-9, ***Οκ*.** 23-10, 26-10, 28-10, ***Νοέμ*.** 1-11, 8-11, 11-11, 12-11, 13-11, 14-11, 25-11, ***Δεκ*.** 4-12, 5-12, 6-12, 9-12, 12-12, 15-12, 27-12, ***Ιαν*.** 11-1, 17-1, 18-1, 20-1, 25-1, 27-1, 30-1, ***Φεβ*.** 1-2, 10-2, 24-2, ***Μάρ*.** 9-3, ***Απρ*.** 23-4, 25-4, ***Μάϊ*.** 2-5, 8-5, 21-5, 25-5, ***Ιούλ*.** 1-7, 2-7, 5-7, 7-7, 11-7, 20-7, 25-7, 26-7, 27-7, ***Αύγ*.** 23-8, 31-8, ***(συνολικά 47 εορτές).]***

**Τῶν Καθημερινῶν, Κοινωνικόν τῆς ἡμέρας**

**Δευτέρᾳ**

Τῶν Ἀσωμάτων

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.Ἀλληλούϊα

**Τρίτῃ**

Τοῦ Προδρόμου

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.Ἀλληλούϊα

**Τετάρτῃ**

Τῆς Θεοτόκου

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.Ἀλληλούϊα

**Πέμπτῃ**

Τῶν Ἁγίων Ἀποστόλων

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.Ἀλληλούϊα

**Παρασκευῇ**

Σταυρώσιμον

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς.Ἀλληλούϊα

ἤ

Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. Ἀλληλούϊα.

**Σαββάτῳ**

Νεκρώσιμον

Ἀγαλλιᾶσθε , δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.Ἀλληλούϊα.

ἤ

Μακάριοι ὃν ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνόν αὐτῶν εἰς γενεὰν καὶ γενεάν.Ἀλληλούϊα.

**Ψυχοσάββατον, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α',Ἦχος β' ὁ α' χορὸς***

***Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸςΣτίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β,'ὁ β'χορὸςΣτίχ. α'.***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ β'χορὸς, Στίχ. γ'.*** Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ α' χορὸς...*** Δόξα Πατρὶ...***ὁ β' χορὸς,*** Καὶ νῦν...**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ...
***Ἀντίφωνον γ' ὁ α' χορὸς Στίχ.α'.***
**Μ**ακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου Κύριε καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.
Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου, ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.
***ὁ β'χορὸς,Στίχ.β'.*** **Α**ἱ ψυχαὶ αὐτῶν, ἐν ἀγαθοῖς αὐλισθήσονται. Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν,...
***ΕΙΣΟΔΟΣ, ὁ α' χορὸς,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...***ὁ β'χορὸς...ψ***άλλοντάς σοι΄ Ἀλληλούϊα.
***ὁ α' χορὸς,*** Ὁ βάθει σοφίας φιλανθρώπως ...
***ὁ β'χορὸςΤοῦ <u>Ναοῦ</u>, ὁ α' χορὸς Κοντάκιον ἮΗχος πλ. δ'***
**Μ**ετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.
***Τρισάγιον. Ἀπόστολος Προκείμενον ἮΗχος πλ. β'***
**Α**ἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.
***Στίχ.*** **Π**ρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεὸς μου.
Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
**Ἀ**δελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν …
***...Κοινωνικόν, ὁ β' χορός***

**Μ**ακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.
***...(στο πρό της Πεντηκοστης Σάββατο ἀντὶ τοῦ*** Εἴδομεν τὸ φῶς,***τὸ τροπάριον*** «Ὁ βάθει σοφίας» ***ἦ ἦχος β΄.*** Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν***.)***
***...ἦχος β'...*** **Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (***Τρίς***).
***καὶ ψάλλονται τά παρόντα Τροπάρια· ἦχος δ', ὁ α' χορὸς,*** **Μ**ετὰ πνευμάτων δικαίων, τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτάς, εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοὶ φιλάνθρωπε.
***ὁ β' χορὸς,*** **Ε**ἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.
***ὁ α' χορὸς ,*** Δόξα Πατρί...**Σ**ὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς Ἅδην καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου Σῶτερ ἀνάπαυσον.
***ὁ β' χορὸς,*** Καὶ νῦν... ***Θεοτοκίον*** **Ἡ** μόνη ἀγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***τελεῖται δὲ τό μνημόσυνον τῶν κεκοιμημένων ὡς ἐξῆς: ὁ Διάκονος:*** **Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, …

**Σάββατον του Λαζάρου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', ἦχος β', ὁ α' χορὸς ,Στίχ. α'.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …
***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ αναστάς εκ νεκρων, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς , Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ...
***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ

θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ...
***ὁ α' χορὸς*** , Δόξα Πατρὶ...***ὁ β' χορὸς*** , Καὶ νῦν...Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …
***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄***
**Α**ἰνεσάτωσαν Αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.
***Ἀπολυτίκιον Ἦχος α'***
**Τ**ὴν κοινὴν Ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός, ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.
***ὁ β' χορός, Στίχ.β΄*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
**Τ**ὴν κοινὴν Ἀνάστασιν...
***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἴσοδικὸν, ὁ α' χορός,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν..... ***ὁ β' χορὸς...ψ***άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος α',*** **Τ**ὴν κοινὴν Ἀνάστασιν …
***ὁ β' χορός, Κοντάκιον Ἦχος β', Τὰ ἄνω ζητῶν***
**Ἡ** πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωή, τοῦ Κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.
***Ἀντὶ δὲ τοῦ Τρισαγίου,*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα.
**Ἀπόστολος,** ***Προκείμενον ἦχος γ',*** **Κ**ύριος φωτισμός μου καὶ σωτήρ μου.
***Στίχ.*** **Κ**ύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Κεφ. ΙΒ' 28 -29, ΙΓ',1-8)***
**Ἀ**δελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες …
***...Εἰς τό, Ἐξαιρέτως*** , ***ὁ α' χορός , ᾠδὴ θ' Ὁ Εἱρμὸς , ἦχος πλ.δ΄,*** **Τ**ὴν ἀγνὴν ἐνδόξως τιμήσωμεν, λαοὶ Θεοτόκον, τὴν τὸ θεῖον πῦρ ἐν γαστρί, ἀφλέκτως συλλαβοῦσαν, ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν**.**
***...ὁ β' χορός, Κοινωνικὸν*** , ***Ἦχος α',*** **Ἐ**κ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. **Ἀ**λληλούϊα.

***ὁ α' χορός , Ἀντὶ τοῦ «*Εἴδομεν τὸ φῶς...» ***Ἀπολυτίκιον Ἦχος α',*** **Τ**ὴν κοινὴν Ἀνάστασιν...***Ἀπόλυσις:*** «...῾Ο ἀναστὰς ἐκ νεκρῶν...»

**ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΠΕΜΠΤΗι *(πρωΐ)....ὁ Διάκονος:* Τ**οῦ Κυρίου δεηθῶμεν.***ὁ α'χορός*, **Κ**ύριε ἐλέησον.***ὁ Ἱερεύς:*** **῞Ο**τι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...***τὸ <u>Τρισάγιον</u>, εἶτα τὸν Ἀπόστολον,Προκείμενον Ἦχος βαρὺς***

**Ο**ἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.

***Στίχ.*** **῞Ι**να τί ἐφρύαξαν ἔθνη, καὶ λαοί.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Κέφ. ΙΑ', 23-32)***

**Ἀ**δελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, …

***...Ἀντὶ Χερουβικοῦ τὸ παρὸν Τροπάριον, Ἦχος πλ. β', ὁ α'χορὸς*, Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε, οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας...***Μ.Εἴσοδος...( συνεχίζει πάλιν ὁ α'χορὸς) ...*** **ἀ**λλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου ( ἦχος β',), Εἰς τό, Ἐξαιρέτως.ὁ α' χορός. τὸ Μέγα Μεγαλυνάριον. Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***Ἦχος α' ἐκ τοῦ Κε (μέλος ἀρχαῖον),*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

***...Ἀντὶ Κοινωνικοῦ , ὁ β' χορός , Ἦχος πλ. β' ,*** **Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ,...

*…**Ἀντὶ τοῦ** «Εἴδομεν τὸ φῶς...»,* **Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, …***(χύμα εἰς τὸ κλιτὸν)***

**ΤΩι ΑΓΙΩι ΚΑΙ ΜΕΓΑΛΩι ΣΑΒΒΑΤΩι (πρωΐ)**, ***ΕΣΠΕΡΙΝΟΣ ΚΑΙ ΛΕΙΤΟΥΡΓΙΑ Μ. ΒΑΣΙΛΕΙΟΥ (έχει φύγει ο Επιτάφιος και έχει τοποθετηθεί η εικόνα της Αναστάσεως. τα καλύμματα***

***της Αγίας Τραπέζης λευκά. λουλούδια σε πανέρι για το "ανάστα ο Θεός..."),Περὶ ὥραν δεκάτην τῆς ἡμέρας σημαίνει. ὁ δὲ Ἱερεὺς ἀλλάσσει στολὴν λευκήν,***
***ὁ Ἱερεύς: Ε****ὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς….****ὁ Ἀναγνώστης:*** **Ἀ**μήν.***Ὁ προοιμιακός,*** Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνάμεσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσωνται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς. Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ

συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἐσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄισω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

***Δόξα Πατρὶ... Καὶ νῦν...*** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός ***(ἐκ γ').*** Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

***Ι.*** **Ἐ**ν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν… ***ὁ α' χορός, Ἦχος α' Ψαλμὸς ρμ' (140),*** **Κ**ύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι μὲ πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.

***ὁ β' χορός,*** **Κ**ατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.

***Στιχηρὰ Ἀναστάσιμα, ἦχος α', ὁ α' χορός, Στίχ.*** **Ἐ**κ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.

**Τ**ὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν κόσμῳ τὴν Ἀνάστασιν. ***ἦχος ὁ αὐτὸς, ὁ β' χορός***

***Στίχ.*** **Γ**ενηθήτω τὰ ὠτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. **Κ**υκλώσατε λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

***ὁ α′ χορός, Στίχ.*** **Ἐ**ὰν ἀνομίας παρατηρήσης, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. ***Ἦχος ὁ αὐτὸς***

**Δ**εῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τόν Κόσμον λυτρωσάμενος.

***ὁ β′ χορός, Στίχ.*** **Ὅ**τι ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. ***Ἦχος ὁ αὐτὸς***

**Τ**ῷ Πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν. Κύριε δόξα σοι.

***Στιχηρὰ Ἰδιόμελα, ὁ α′ χορός, Ἦχος πλ. δ′ , Στίχ.*** **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, συνέφερέ μοι, εἰ τὸν ἐκ Μαρίας γεννηθέντα, μὴ ὑπεδεξάμην, ἐλθὼν γὰρ ἐπ' ἐμέ, τὸ κράτος μου ἔλυσε, πύλας χαλκᾶς συνέτριψε, ψυχάς ἃς κατεῖχον τὸ πρίν, Θεὸς ὢν ἀνέστησε. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

***ὁ β′ χορός, Στίχ.*** **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. **Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, συνέφερέ μοι…

***ὁ α′ χορός, Στίχ.*** **Α**ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. ***Ἦχος ὁ αὐτὸς***

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, κατελύθη μου ἡ ἐξουσία, ἐδεξάμην θνητόν, ὥσπερ ἕνα τῶν θανόντων, τοῦτον δὲ κατέχειν ὅλως οὐκ ἰσχύω, ἀλλ' ἀπολῶ μετὰ τούτου, ὧν ἐβασίλευον, ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

***ὁ β′ χορός, Στίχ.*** **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα. ***Ἦχος ὁ αὐτὸς***

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, κατεπόθη μου τὸ κράτος, ὁ ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν, ὧνπερ ἐβασίλευον ἐστέρημαι, καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα, ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς, οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

***ὁ α'χορὸς***, Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι., ***Ἦχος πλ. β'***

**Τ**ὴν σήμερον μυστικῶς, ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων. Καὶ εὐλόγησεν ὁ Θεός, τὴν ἡμέραν τὴν ἑβδόμην, τοῦτο γὰρ ἐστι τὸ εὐλογημένον Σάββατον, αὕτη ἐστίν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ σαββατίσας, καὶ εἰς ὃ ἦν, πάλιν ἐπανελθὼν, διὰ τῆς Ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

***ὁ β' χορός ,***Καὶ νῦν... ***Θεοτοκίον Ἦχος α'***, **Τ**ὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾄσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς θεότητος, αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ, καὶ γὰρ αὐτός πολεμήσει, τοὺς ἐχθροὺς **ὡς παντοδύναμος.**

***<u>Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου τό, Φῶς ἱλαρόν..., καὶ εὐθὺς τὰ (Δ.: ΕΣΠΕΡΑΣ!)</u>*** *Ἀναγνώσματα.**Ἀνάγνωσμα Α'***

**Γενέσεως τὸ Ἀνάγνωσμα**, ***(Κεφ. Α', 1-13)*** Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς Ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε Νύκτα. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ

μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα Οὐρανόν. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν Γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε Θαλάσσας. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

***Ἀνάγνωσμα Δ'*, Προφητείας Ἰωνᾶ τὸ Ἀνάγνωσμα, *(Κεφ. Α' - Δ')*** Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου καὶ κατέβη εἰς Ἰόππην καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου. Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. Καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόησαν ἔκαστος πρὸς τὸ θεὸν αὐτοῦ καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου καὶ ἐκάθευδε καὶ ἔρρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· τί σὺ ρέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ τὸν Θεόν σου, ὅπως διασώσῃ ὁ Θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· δεῦτε βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν

ἡμῖν; καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. Καὶ εἶπον πρὸς αὐτόν· ἀπάγγειλον ἡμῖν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ, καὶ τοῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· δοῦλος Κυρίου εἰμὶ ἐγὼ καὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπον πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς. Καὶ εἶπον πρὸς αὐτόν· τί ποιήσομέν σοι καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι. Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπαν· μηδαμῶς, Κύριε, μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον, διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον καὶ ἔθησαν θυσίαν τῷ Κυρίῳ καὶ ηὔξαντο τὰς εὐχάς. Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Καὶ ἐγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ Κύριε ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ Κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν τὸ ἅγιόν σου.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐτῶν ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Καὶ προσέταξε Κύριος τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρός σε. Καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησε Κύριος· ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας μιᾶς καὶ ἐκήρυξε καὶ εἶπεν· ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ καὶ ἐκήρυξαν νηστείαν καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευή, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λέγων· οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν λέγοντες· Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ καὶ οὐ μὴ ἀπολώμεθα; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε. Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην καὶ συνεχύθη, καὶ προσηύξατο πρὸς Κύριον καὶ εἶπεν· Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσίς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Καὶ νῦν, δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με μᾶλλον, ἢ ζῆν με. Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σύ; Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο

ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἐωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθαν, καὶ ἀπεξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ· καὶ ὠλιγοψύχησε καὶ ἐπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπε· καλόν μοι ἀποθανεῖν με ἢ ζῆν. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; καὶ εἶπε· σφόδρα λελύπημαι ἐγὼ ἐως θανάτου. Καὶ εἶπε Κύριος· σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτὴν οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο. Ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

***Ἀνάγνωσμα ΙΕ'*, Προφητείας Δανιὴλ τὸ Ἀνάγνωσμα, *(Κεφ. Γ', 1-23 καὶ Ὕμνου Τριῶν Παίδων 1-33)*** Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾶ, ἐν χώρᾳ Βαβυλῶνος. Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους τε καὶ τυράννους καὶ τοὺς ἐπ΄ ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ΄ ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ· ὑμῖν λέγεται, λαοί, φυλαί, γλῶσσαι· ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ

πυρὸς τὴν καιομένην. Καὶ ἐγένετο ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ Ναβουχοδονόσορ· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Σὺ βασιλεῦ, ἔθηκας δόγμα πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς Σεδράχ, Μισάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; Καὶ ἀπεκρίθησαν Σεδράχ, Μισάχ, Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε πεδήσαντας τὸν Σεδράχ,

Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημίσι καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. Καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι. καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον. Καὶ συστὰς Ἀζαρίας προσύξατο οὕτως καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια, καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα, διὰ τὰς ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ´ ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ´ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι

ταπεινώσεως προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ´ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος Θεὸς μόνος καὶ ἔνδοξος ἐφ´ ὅλην τὴν οἰκουμένην. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυππίον καὶ κληματίδα. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα. Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὕς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς πάντας τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου τῆς βασιλείας σου καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

***ὁ α' χορός, Ἦχος α'***, **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

***Εἶτα ὁ μὲν <u>Ἀναγνώστης</u> λέγει τὸν ἑπόμενον Ὕμνον, <u>ἡμεῖς</u> δὲ μεθ' ἕνα ἕκαστον τῶν Στίχων αὐτῶν ψάλλομεν, Τὸν Κύριον ὑμνεῖτε, ὡς ἔπεται. ΥΜΝΟΣ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ***

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ Δυνάμεις Κυρίου, τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψῦχος, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πηγαί, θάλασσα, καὶ ποταμοί, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον.
***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.
***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν Κύριον.
***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον.
***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ Δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον.
***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, καὶ Μισαήλ, τὸν Κύριον.
***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον.
***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
**Εὐλογοῦμεν Πατέρα Υἱόν, καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.**
***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.
**Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.**
***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνοῦμεν, καὶ δοξολογοῦμεν **εἰς πάντας τοὺς αἰῶνας.**
***Δ. ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΗΘΩΜΕΝ…,*** **Ἀντὶ τοῦ Τρισαγίου**, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.
***Προκείμενον Ἦχος πλ. α'***
**Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι.
***Στίχ.*** Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
**Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**, *(Κεφ. ς', 3-11)*
**Ἀ**δελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, …

***(Ο ΙΕΡΕΥΣ ΣΚΟΡΠΙΖΕΙ ΦΥΛΛΑ ΔΑΦΝΗΣ ΨΑΛΛΟΝΤΑΣ) ,Ἦχος βαρὺς***

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Τὸν αὐτὸν ψάλλομεν καὶ ἐν ἑνὶ ἑκάστῳ τῶν ἑπομένων Στίχων τοῦ Ψαλμοῦ πα', λεγομένων παρὰ τοῦ Ἀναγνώστου χύμα.***

***Στίχ.*** **Ὁ** Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἕ**ως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Κ**ρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἐ**ξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ο**ὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἐ**γὼ εἶπα, θεοὶ ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις **ἐν πᾶσι τοῖς ἔθνεσι.**

***(Ο ΔΙΑΚΟΝΟΣ) Εκ του κατὰ Ματθαῖον...Εὐαγγέλιον, Ὀψὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ ...Ἀντὶ δὲ τοῦ Χερουβικοῦ, ψάλλομεν τὸ παρόν Τροπάριον, ὁ α' χορός , Ἦχος πλ. α'***

**Σ**ιγησάτω πᾶσα σάρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω, ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προσέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς, προηγοῦνται δὲ τούτου, οἱ χοροὶ τῶν Ἀγγέλων, μετὰ

πάσης ἀρχῆς καὶ ἐξουσίας,...***Μ.Εἴσοδος...(καὶ συνεχίζει πάλιν ὁ α'χορὸς )...*****τ**ὰ πολυόμματα Χερουβείμ, καὶ τὰ ἐξαπτέρυγα Σεραφείμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον. **Ἀ**λληλούϊα, Ἀλληλούϊα**, Ἀλληλούϊα.**

*... **Εἰς τό, Ἐξαιρέτως,ὁ α' χορός ,τὸ Μέγα,Μεγαλυνάριον ,Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***Ἦχος α' ἐκ τοῦ Κε (μέλος ἀρχαῖον),*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, **δόξα σοι.**

***...ὁ β' χορός ,Κοινωνικὸν ἦχος α',*** **Ἐ**ξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σῴζων ἡμᾶς. Ἀλληλούϊα.

***Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς» τὸ παρὸν, ὁ α' χορός,*** **Μ**νήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

**Ἀπόλυσις,«...ὁ ἀναστάς...».**

***Ἅγιος Γεώργιος με Δευτέρα Διακαινησίμου.Εἰς τὴν Λειτουργίαν, Ι.*** *ευλογημένη η Βασιλεία...*

***Ἦχος πλ. α' ,ὁ Ἱερεύς:*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (τρὶς) ***<u>ὁπως στον Ὀρθρο...</u>***

***<u>Συναπτή μεγάλη.</u> Ἀντίφωνον α',Ἦχος β',ὁ α' χορὸς.Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορὸς, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορὸς, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α΄χορὸς*, Δόξα Πατρὶ... *ὁ β' χορὸς*, Καὶ νῦν... *οἱ δύο χοροὶ ὁμοῦ*. Τ**αῖς** πρεσβείαις τῆς Θεοτόκου...

**μικρά συναπτή, Ἀντίφωνον β'**, **Ἦχος ὁ αὐτὸς**, **ὁ β' χορὸς**

***Στίχ.*** **Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορὸς*, *Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορὸς*, *Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α' χορὸς*, *Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ α' χορὸς,*** Καὶ νῦν...***ὁ β' χορὸς,*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

**μικρά συναπτή, *Ἀντίφωνον γ', Ἦχος πλ. α', ὁ α' χορὸς, Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β' χορὸς.Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...

***ὁ α' χορὸς. Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...

***ὁ β' χορὸς. Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν*, Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

***Εἶτα τὸ*, Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...***(ἐκ γ').***

***Ἡ Ὑπακοὴ ἦχος δ'*** , **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τὶ ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***Ἀπολυτίκιον ἦχος δ'***, **Ὡ**ς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Κοντάκιον ἦχος πλ. δ'*** , **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ. ἦχος α'***

**Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

***Ἀπόστολος ΤΟΥ ΑΓΙΟΥ ,Προκείμενον. (23ης Απριλίου)ἦχος βαρύς***

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

***Στίχ.*** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα, ***(Πράξ. ιβ΄ 1-11).***

**Κ**ατ' ἐκεῖνον τόν καιρόν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς …

***…Εἰς τὸ Ἐξαιρέτως, ὁ α'χορὸς, ἦχος α'. Στίχ.*** **Ὁ** Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.

**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***…Κοινωνικὸν ,ἦχος β'***, **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε**.**

***Εἰς τούς πανηγυρίζοντας Ναούς:*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

***Ἀντὶ τοῦ*** «Εἴδομεν τὸ φῶς…» ***καὶ τοῦ*** «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον…**»** ***λέγεται τό,*** Χριστὸς ἀνέστη… ***Ἀπόλυσις: Διαλογική·*** «*Ὁ ἀναστάς ἐκ νεκρῶν…*». ***ὁ Προεξάρχων:*** **πρός τόν λαόν·** «*Χριστός ἀνέστη*». ***Ο Λαός:*** «*Ἀληθῶς ἀνέστη*», ***τό***

***αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ·* ὁ Προεξάρχων: *Τό·* «*Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει*». **Ὁ Λαός:** *΄Αποκρίνεται διά τοῦ·* «*Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν*». *ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·* «*Χριστός ἀνέστη…*» **(ὅλον), καί Ὁ Λαός:** *΄Αντιφωνεῖ·* «*΄Αληθῶς ἀνέστη ὁ Κύριος*».**

***(δεν διαβάζουμε ευχαριστία μετά την θ. μετάληψιν, απο την β' της Διακαινησίμου μέχρι και το Σάββατο)***

**ΠΕΜΠΤΗ του Θωμα, 23 ΑΠΡΙΛΙΟΥ.** ***Εἰς τὴν Λειτουργίαν, Μετά τό·*** «Εὐλογημένη ἡ βασιλεία…» ***ψάλλεται τό·*** «**Χ**ριστός ἀνέστη…», ***τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορός, Στίχ.***
**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορός, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ α' χορός, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ β' χορός, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ α' χορός,*** Δόξα Πατρί… ***ὁ β' χορός ,*** Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον β', Ἦχος ὁ αὐτὸς, ὁ β' χορός, Στίχ.***
**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α' χορός, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ β' χορός, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ α' χορός, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ β' χορός,*** Δόξα Πατρί… Καὶ νῦν…**Ὁ Μονογενὴς** Υἱὸς …
***Ἀντίφωνον γ', Ἦχος πλ. α', ὁ α' χορός, Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β' χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...
**ὁ α' χορός, Στίχ. Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...
***ὁ β' χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...
***Εἰσοδικὸν, ὁ α' χορός,***
**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β' χορός***...ψάλλοντάς σοι. **Ἀ**λληλούϊα.
***Εἶτα ὁ α' χορός,Ἀπολυτίκιον ἦχος βαρὺς,*** **Ἐ**σφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.
***Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου. Ἦχος δ΄. Αὐτόμελον.***
Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
**Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.** ***Κοντάκιον τῆς ἑορτῆς (ἀπὸ Δευτέρας τοῦ Θωμᾶ μέχρι τοῦ Σαββάτου). Ἦχος πλ. δ΄. Αὐτόμελον.***
Τῇ φιλοπράγμονι δεξιᾷ * τὴν ζωοπάροχόν σου πλευρὰν * ὁ Θωμᾶς ἐξηρεύνησε, * Χριστὲ ὁ Θεός· * συγκεκλεισμένων γὰρ τῶν θυρῶν * ὡς εἰσῆλθες, * σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι· * Κύριος ὑπάρχεις καὶ Θεός μου.
**ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ**. ***ΑΠΟΣΤΟΛΟΣ. Τοῦ ἁγίου (Πρξ. ιβ΄ 1-11). (Ζήτει τῷ Σαββάτῳ τῆς Δ΄ ἑβδ. τῶν Πράξεων). Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ΄).***
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

***Στίχ***. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.
Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.
Κατ΄ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης …

***…Κοινωνικόν.*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.
***Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν…*** ***Ἦχος πλ. α΄.***Χριστὸς ἀνέστη ἐκ νεκρῶν, …

**Παρασκευή Διακαινησίμου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**
***Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς…* ***Ἦχος πλ. α΄*** , **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***
***Στίχ. α΄*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
***Στίχ. β΄.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
***Στίχ. γ΄.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
***Στίχ. δ΄*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α'χορὸς.,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
**ὁ α'χορὸς**, Δόξα Πατρί…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
***ὁ β'χορὸς,*** Καὶ νῦν…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…
***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας…***ὁ β'χορὸς…κ***αὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ…Ἀντίφωνον α΄ Ἦχος β΄***
***Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ***ὁ α΄ χορός ,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β'῾Ηχος ὁ αὐτὸς***

***Στίχ.*** **Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ***ὁ α' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **ὁ α' χορός Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

Δόξα Πατρί... Καὶ νῦν***...ὁ β' χορός*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, …

***Ἀντίφωνον γ'῾Ηχος πλ. α'***

***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

***ὁ α' χορός,*****Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β' χορός ,*** **Χ**ριστὸς ἀνέστη...

***Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη...

***Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ β' χορός,*** **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν (το ψάλλουν <u>οι</u> ιερεις ή ο χορός),*****Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

***Εἶτα τὸ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...***(ἐκ γ').***

***ὁ β' χορός Ἡ Ὑπακοὴ Ἦχος δ'*** , **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***Ἀπολυτίκιον Ἦχος α'***

Ὁ ναός σου, Θεοτόκε, ἀνεδείχθη παράδεισος, ὡς ποταμούς ἀειζώους, ἀναβλύζων ἱάματα· ᾧ προσερχόμενοι πιστῶς, ὡς Ζωοδόχου ἐκ Πηγῆς, ῥῶσιν ἀντλοῦμεν, καί ζωήν τήν αἰώνιον· πρεσβεύεις γάρ σύ, τῷ ἐκ σοῦ τεχθέντι Σωτῆρι Χριστῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

***ὁ α' χορός, Κοντάκιον Ἦχος πλ. δ'*** , **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ, Ἦχος α',*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα. ***Ἀπόστολος Παρασκευῆς τῆς Διακαινησίμου· (Πράξ. γ΄1-8)., Προκείμενον Ἦχος δ'***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε΄πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ.*** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

Ἐν ταῖς ἡμεραῖς ἐκείναις, Πέτρος καὶ΄Ιωάννης ἀνέβαινον…

***...Εἰς τὸ Ἐξαιρέτως, ὁ α'χορὸς, Ἦχος α' , Στίχ.*** **Ὁ** Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.

**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***Κοινωνικὸν , ὁ β' χορός , Ἦχος α',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε***. Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***καὶ τοῦ*** «**Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...» ***λέγεται τό,*** Χριστὸς ἀνέστη.΄***Απόλυσις: Διαλογική·*** «Ὁ ἀναστάς ἐκ νεκρῶν...». **ὁ Προεξάρχων:** ***πρός τόν λαόν·*** «Χριστός ἀνέστη». **Ὁ Λαός:** «΄*Αληθῶς ἀνέστη*», ***τό αὐτό***

***ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ· ὁ Προεξάρχων:*** **Τό·** «Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει». ***Ὁ Λαός:*** ***Ἀποκρίνεται διά τοῦ·*** «Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». ***ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·*** «Χριστός ἀνέστη...» (***ὅλον***), ***καί*** **Ὁ Λαός:** ***Ἀντιφωνεῖ·*** **«**Ἀληθῶς ἀνέστη ὁ Κύριος».

**Πέμπτη της Αναλήψεως του Σωτηρος,** ***ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β' , ὁ α' χορός, Στίχ. α'***

**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορόςΣτίχ. β'*** **Ὅ**τι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός, Στίχ. γ'*** **Ὑ**πέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν**... Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', Ὁ αὐτὸς, Στίχ. α'.***

**Μ**έγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Ὁ** Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ...

***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ...

***ὁ α' χορός*** , Δόξα Πατρί... ***ὁ β' χορός,*** Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ…

***Ἀντίφωνον γ', Ἦχος δ' ,ὁ α' χορός, Στίχ. α'*** **Ἀ**κούσατε ταῦτα πάντα τὰ ἔθνη.

***Ἀπολυτίκιον Ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

***ὁ β' χορός, Στίχ. β'*** **Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. **Ἀ**νελήφθης ἐν δόξῃ...

***ὁ α' χορός, Στίχ. γ'.*** **Κ**λινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. **Ἀ**νελήφθης ἐν δόξῃ...

***Εἰσοδικὸν ὁ α' χορός***

**Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς... ***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον - ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

**<u>Τρισάγιον</u>**,᾽**Απόστολος**, **Προκείμενον ἦχος βαρὺς**

**Ὑ**ψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

***Στίχ.*** **Ἑ**τοίμη ἡ καρδία μου ὁ Θεός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

**Τ**ὸν μὲν πρῶτον λόγον ἐποιησάμην …

…***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,ᾠδὴ θ' Ὁ εἱρμὸς ἦχος πλ. α'***

**Σ**ὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν**.**

***…ὁ β' χορὸς, Κοινωνικὸν ,ἦχος δ'*** , **Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, **Ἀ**λληλούϊα.

***…Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» , ***ὁ α' χορὸς ψάλλει τό, Ἀπολυτίκιον ἦχος δ'***, **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**21-5. Πέμπτη της Αναλήψεως του Σωτηρος, *ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', ἦχος β' , ὁ α' χορός, Στίχ. α'***

**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας …

***Εἰσοδικὸν ὁ α' χορός***

**Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς... ***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

Δόξα... ***Τοῦ Μηναίου. ἦχος πλ. δ΄***. Τοῦ Σταυροῦ σου τὸν τὺπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν Ἀπόστολός

σου Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσῳζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον - Ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

**Τρισάγιον**, ***ΑΠΟΣΤΟΛΟΣ. Προκείμενον. Ἦχος πλ. δ΄.***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

***Στίχ. α΄.*** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

***Στίχ. β΄.*** Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. ***(κϚ΄ 1, 12-20).***

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεὺς …

…***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,ᾠδὴ θ' Ὁ εἱρμὸς ἦχος πλ. α'***

**Σ**ὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν**.**

***…ὁ β' χορὸς, Κοινωνικὸν ,ἦχος δ'*** , **Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, **Ἀ**λληλούϊα***…Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς…» , ***ὁ α' χορὸς ψάλλει τό, Ἀπολυτίκιον Ἦχος δ'***, **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**Δευτέρα του Αγίου Πνεύματος, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ἦχος β',Στίχ.***

**Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

***ὁ α' χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** **Ἡ**μέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ***ὁ β' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Ο**ὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ***ὁ α' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου.

***Στίχ.*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***ὁ β' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρὶ... Καὶ νῦν...***Οἱ δύο χοροὶ ὁμοῦ*** , **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον Β',Στίχ.***
**Ἐ**πακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.
***ὁ β' χορὸς,*** Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***Στίχ.*** **Ἐ**ξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ***ὁ α' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...
***Στίχ.,*** **Μ**νησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. ***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...
***ὁ α' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...
***Ἀντίφωνον Γ',Στίχ.***
**Κ**ύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
***ὁ α' χορὸς , Ἦχος πλ. δ'***
Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.
***Στίχ.*** **Τ**ὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. ***ὁ β' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...
***Στίχ.*** **Ὅ**τι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ***ὁ α' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...
***Στίχ.*** **Ζ**ωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. ***ὁ β' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...
***Εἰσοδικὸν, ὁ α' χορός,***
**Ὑ**ψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι. Ἀλληλούϊα**.**
***ὁ α' χορός, Ἦχος πλ. δ',*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

……..

***24-6, ὁ β' χορὸς, Ἀπολυτίκιον τοῦ Προδρόμου Ἦχος δ'***

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

**……**

***Κοντάκιον ,ὁ β' χορὸς ,* Ἦχος πλ. δ'**

**Ὅ**τε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

***Ἀντὶ δὲ τοῦ Τρισαγίου Ἦχος α':*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα.

***Ἀπόστολος: Τῆς ἡμέρας· Δευτέρας α΄ ἑβδομάδος Ἐπιστολῶν. Προκείμενον ἦχος πλ.δ'***

Σῶσον, Κύριε, τὸν λαὸν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

***Στίχ.*** Πρὸς σέ, Κύριε κεκράξομαι ὁ Θεὸς μου.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Ἐφεσ. ε΄ 8-19).***

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε …

***…Εἰς τὸ Ἐξαιρέτως, Ὁ Εἱρμὸς τῆς θ'ᾠδῆς ἦχος δ'***

Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος.
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν, ὅθεν σε συμφώνως δοξάζομεν.

***…Κοινωνικὸν, ἦχος α':*** Τὸ Πνεῦμά σου το ἅγιον μὴ ἀντανέλῃς ἀφ'ἡμῶν, δεόμεθα φιλάνθρωπε. Ἀλληλούϊα.

**20-7, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸς, Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς , Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ α' χορὸς,*** Δόξα Πατρὶ...***ὁ β' χορὸς,*** Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ,...

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄.***

**Μ**ὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.

***Ἀπολυτίκιον Ἦχος δ', Ταχὺ προκατάλαβε***

Ὁ ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει, διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

***ὁ β' χορός, Στίχ. β΄.*** **Σ**ὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. **Ὁ** ἔνσαρκος ἄγγελος...

***Εἰσοδικὸν, ὁ α' χορός,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς...*****Ψ**άλλοντάς σοι΄, **Ἀ**λληλούϊα.

***ὁ α' χορός , Ἀπολυτίκιον Ἦχος δ', Ταχὺ προκατάλαβε,*** **Ὁ** ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν…

***ὁ β' χορός,*** **Τοῦ <u>Ναοῦ</u>**

***ὁ α' χορός , Κοντάκιον Ἦχος β',*** **Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**Τρισάγιον, *Ἀπόστολος (Ἰακ. ε΄ 10-20).* Προκείμενον ἦχος α'.**

**Σ**ὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

***Στίχ.*** **Ε**ἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου΄ Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου.

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, ὑπόδειγμα λάβετε, τῆς κακοπαθείας …

***…ὁ β' χορός , Κοινωνικὸν,*** **Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα.

**26-7, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ὁ α' χορός, Ἦχος β΄. Στίχ. α΄.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ. β΄.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορός, Στίχ. γ΄.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ β' χορός,*** Δόξα Πατρὶ…, ***ὁ α' χορός,*** Καὶ νῦν…Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος ὁ αὐτὸς., ὁ β' χορός***

***Στίχ.*** **α΄.** Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ.*** **β΄.** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,…

***ὁ β' χορός, Στίχ. γ΄.*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,…

***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος …

***Ἀντίφωνον Γ',ὁ α' χορός,Στίχ α'.***

Ὑπομένων ὑπέμεινα τόν Κύριον, καί προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.

***Ἀπολυτίκιον. Ἦχος α΄.*** Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ ἀθληφόρε, ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***ὁ β' χορός, Στίχ. β΄.*** Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου, καί κατηύθυνε τά διαβήματά μου. Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον,...

***Εἰσοδικὸν, ὁ α' χορός,*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς...***ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός ,Ἀπολυτίκιον. Ἦχος α΄.*** Τὴν σπουδήν σου τῇ κλήσει …

***ὁ β' χορὸς ,Τοῦ <u>Ναοῦ,</u> ὁ α' χορός,Κοντάκιον Ἦχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**<u>Τρισάγιον</u>*. Ἀπόστολος (Γαλ. γ΄ 23 – δ΄ 5), Τῆς Ἁγίας· Προκείμενον ἦχος δ'***

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

***Στίχ.***Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν …

***…ὁ β' χορός, Κοινωνικὸν:*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα**.**

***27-7,ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄.***

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

***Ἀπολυτίκιον ἦχος γ',*** Ἀθλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***Εἰσοδικὸν, ὁ α' χορός***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς...***ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος γ'***

Ἀθλοφόρε ἅγιε, …

***ὁ β' χορός, <u>Τοῦ Ναοῦ,</u> ὁ α' χορός, Κοντάκιον,Αὐτόμελον ἦχος βαρὺς***

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

**Τρισάγιον.** ***Ἀπόστολος (Β΄ Τιμ. β΄ 1-10),Τοῦ Ἁγίου·Προκείμενον ἦχος βαρύς.***

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

***Στίχ.*** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι…

***…ὁ β' χορός, Κοινωνικὸν,*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**8-9, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**, ***ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α' χορὸς, Στίχ. α'.***

**Μ**νήσθητι Κύριε τοῦ Δαυΐδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός,Στίχ. β'.*** **Ἰ**δοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς,Στίχ. γ'.*** **Δ**εδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός ,Στίχ. δ'.*** **Ὁ** Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρί...***ὁ β' χορός,*** Καὶ νῦν…

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',ὸ β' χορός,Στίχ. α'.***

**Ὤ**μοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὸ α' χορὸς,Στίχ. β'.*** **Ἐ**κ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὸ β' χορός,Στίχ. γ'.*** **Ἐ**κεῖ ἐξανατελῶ κέρας τῷ Δαυΐδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.

**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὸ α' χορὸς ,Στίχ. δ'.*** **Ὅ**τι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὸ β' χορός,*** Δόξα Πατρὶ... ***ὸ α' χορός,*** Καὶ νῦν... ***ὸ β' χορός,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος …

***Ἀντίφωνον Γ',ὸ α' χορὸς,Στίχ. α'.*** **Ὥ**δε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

***Ἦχος δ',*** **Ἡ** γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ΄ ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν΄ καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν΄ καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

***ὸ β' χορός, Στίχ. β' .*** **Ἡ**γίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. **Ἡ** γέννησίς σου Θεοτόκε...

***ὸ α' χορὸς,Στίχ. γ'.*** **Ἅ**γιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. **Ἡ** γέννησίς σου Θεοτόκε...

***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν,ὸ α' χορός , Ἦχος β',***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός.....***ὸ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

**ὸ α' χορός,,** ***Ἦχος δ',*** **Ἡ** γέννησίς σου Θεοτόκε, …

***ὸ β' χορὸς,Κοντάκιον Ἦχος δ' ,Αὐτόμελον***

**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Τρισάγιον.** ***Ἀπόστολος (Φιλιπ. β΄ 5-11).*** ***Τῆς Ἑορτῆς*****.** ***Προκείμενον ἦχος γ'***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·

**Π**ρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα

**Ἀ**δελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν …

***…Εἰς τό, Ἐξαιρέτως , ὁ α' χορός, Ἦχος πλ.δ', Ὁ Εἱρμὸς***

**Ἀ**λλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα΄ ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

***…Κοινωνικὸν, ὁ β' χορός, ἦχος δ'***

**Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἀ**λληλούϊα.

**28-10,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ , Ἀντίφωνον Α' , Ἦχος β΄. , ὁ α' χορός, Στίχ. α'.***

**Π**αρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορὸς, Στίχ. β'.*** **Π**ᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορός, Στίχ. γ'.*** **Τ**ὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

**ὁ β' χορὸς**, Δόξα Πατρί… Καὶ νῦν**. Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', ὁ β' χορὸς, Στίχ. α'.***

**Τ**ῆς αἰνέσεώς σου, Κύριε, πλήρης πᾶσα ἡ γῆ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ. β'.*** **Ἡ**μέρα Κυρίου ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ…

***ὁ β' χορὸς, Στίχ. γ'.*** **Κ**ύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ…

**ὁ α' χορός,** Δόξα Πατρὶ… **ὁ β' χορός,** Καὶ νῦν**…Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …

***Ἀντίφωνον Γ', ὁ α' χορός , Στίχ. α'.***

**Μ**νησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

***Ἦχος α΄. Τῆς ἐρήμου πολίτης***

Τῆς Σκέπης σου Παρθένε, ἀνυμνοῦμεν τάς χάριτας, ἣν ὡς φωτοφόρον νεφέλην, ἐφαπλοῖς ὑπὲρ ἔννοιαν, καὶ σκέπεις τὸν λαόν σου νοερῶς, ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς. Σὲ γὰρ σκέπην καὶ προστάτιν καὶ βοηθόν, κεκτήμεθα βοῶντές σοι· Δόξα τοῖς μεγαλείοις σου Ἀγνή, δόξα τῇ θείᾳ Σκέπῃ σου, δόξα τῇ πρὸς ἡμᾶς σου, προμηθείᾳ Ἄχραντε.

***ὁ β΄ χορός,Στίχ. β΄.*** **Δ**ιὰ τοῦτο λαοὶ ἐξομολογήσονται σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. **Τ**ῆς Σκέπης σου, Παρθένε…

***ὁ α΄ χορός,Στίχ. γ΄.*** **Σ**μύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου. **Τ**ῆς Σκέπης σου, Παρθένε…

***Μικρὰ Εἴσοδος., Εἰσοδικὸν, ὁ α΄ χορός , Ἦχος β΄***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός…***ὁ β΄ χορὸς,*** …**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α΄ χορός, ,τὸ ἀπολυτίκιον τῆς Ἑορτῆς,Ἦχος α΄. Τῆς ἐρήμου πολίτης,*** **Τ**ῆς Σκέπης σου Παρθένε, …

***ὁ β΄ χορὸς,Ἕτερον. Ἦχος πλ. δ΄, Θεοτόκε Ἀειπάρθενε.***

**Θ**εοτόκε Ἀειπάρθενε, τὴν ἁγίαν σοῦ Σκέπην, δι' ἧς περισκέπεις, τοὺς εἰς σὲ ἐλπίζοντας, κραταιὰν τῷ Ἔθνει σου καταφυγὴν ἐδωρήσω· ὅτι ὡς πάλαι καὶ νῦν θαυμαστῶς ἡμᾶς ἔσωσας, ὡς νοητὴ νεφέλη, τὸν σὸν λαὸν περιβαλοῦσα. Διὸ δυσωποῦμεν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

***ὁ α΄ χορός,Τοῦ <u>Ναοῦ</u> ,ὁ β΄ χορὸς, Κοντάκιον. Ἦχος πλ. δ΄. ,Τῇ ὑπερμάχῳ.***

**Ὡ**σπερ νεφέλη ἁγλαῶς ἐπισκιάζουσα, τῆς Ἐκκλησίας τὰ πληρώματα Πανάχραντε, ἐν τῇ πόλει πάλαι ὤφθης τῇ Βασιλίδι. Ἀλλ' ὡς σκέπη τοῦ λαοῦ σου καὶ ὑπέρμαχος, περισκέπασον ἡμᾶς ἐκ πάσης θλίψεως, τοὺς κραυγάζοντας· Χαῖρε Σκέπη ὀλόφωτε.

***<u>Τρισάγιον</u>., Ἀπόστολος τῆς Θεοτόκου (Ἑβρ.Θ΄ 1-7),Προκείμενον ἦχος γ΄.***

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, εἶχεν ἡ πρώτη σκηνὴ …

….***Εἰς τό, Ἐξαιρέτως ,ὁ α' χορός,ἦχος δ',*** **Στίχ.** ***Ἄ***γγελοι τὴν Σκέπην τῆς Θεοτόκου, ἐν ὕμνοις μεγαλύνουσιν, ὅτι πιστῶν τάς χορείας, ἀπανταχοῦ περισκέπει. ***Ἅ***πας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

***…Κοινωνικὸν,ὁ β' χορός,*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

**28ΟΚΤΩΒΡΙΟΥ,ΔΟΞΟΛΟΓΙΑ ΕΠΙ ΤΗι ΕΘΝΙΚΗι ΕΟΡΤΗι.**Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ἦχος α' Τῆς ἐρήμου πολίτης***

Τῆς Σκέπης σου Παρθένε, …

***Κοντάκιον Ἦχος πλ. δ'***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε· Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, Χαῖρε νύμφη ἀνύμφευτε.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Η δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου, Κύριε, ἔθραυσεν ἐχθρούς· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

᾿Εν τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

Ταλαιπωρία ἐταλαιπωρήσαμεν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

Οἱ ἀγροὶ ἡμῶν διεμερίσθησαν, οἱ οἶκοι ἠρημώθησαν καὶ ἡμεῖς περιυβρίσθημεν· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

᾿Αλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ· πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

***Εἶτα αἱ ἐξῆς αἰτήσεις τῆς λιτανευτικῆς (ἐκτενοῦς) ἱκεσίας, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς μεθ᾽ ἑκάστην αὐτῶν ἀνὰ ἓν τριπλοῦν «***Κύριε, ἐλέησον», ***ἐξαιρέσει τῆς πέμπτης, μεθ᾽ ἣν ψάλλεται*** «Αἰωνία ἡ μνήμη» ***γ΄, καὶ τῆς ἕκτης, μεθ᾽***

***ἣν ψάλλεται τὸ*** «Κύριε, ἐλέησον» ***ἀνὰ δέκα ἀμοιβαδὸν τετράκις, πραείᾳ τῇ φωνῇ.***
***Ἱερεύς***
Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους καὶ πάσης Ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, καὶ ὑπέρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέονσυνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.
Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν ἡρωϊκῶς ἀγωνισαμένων καὶ ἐνδόξως πεσόντων ἐν τοῖς ἱεροῖς τοῦ Ἔθνους ἡμῶνἀγῶσι, πάλαι τε καὶ ἐπ' ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἐκούσιόν τε καὶ ἀκούσιον.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆςἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἴλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶνόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.
Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.
Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.
Τοῦ Κυρίου δεηθῶμεν.
***Ἱερεύς***: Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι καὶ αὖθις ἐπὶ τὴν εὔσημον ταύτην ἡμέραν ἤγαγες ἡμᾶς, ἐπινίκιον ᾠδὴν σοὶ ἀναμέλψαι τῷ εὐεργέτῃ καὶ σωτῆρι ἡμῶν. Ἰδοὺ γὰρ οἱ Ἄρχοντες ἡμῶν καὶ πᾶσα συναγωγὴ λαοῦ ἐπὶ ταὐτὸ συναχθέντες ἀνάμνησιν ἐπιτελοῦμεν ἔργου θαυμαστοῦ καὶ

μεγάλου, ὃ ἡ δεξιά σου εἰργάσατο ἐν ταῖς ἡμέραις ἡμῶν, εἰς ἔνδειξιν, ὅτι ἡμέρα Κυρίου ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον καὶ ἡμέρα πτώσεως ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον· τοὺς γὰρ ἐνδόξους συνετάραξας μετὰ ἰσχύος καὶ τοὺς ὑψηλοὺς τῇ ὕβρει συνέτριψας μετὰ δυνάμεως, Διὰ τοῦτο, Κύριε, σήμερον τῆς αἰνέσεώς σου πλήρης ἡμῶν πᾶσα ἡ γῆ καὶ ἐν εὐγνωμοσύνῃ καὶ ἀγαλλιάσει βοῶμέν σοι· Τὰς ὁδούς σου, Κύριε, γνώρισον ἡμῖν καὶ τὰς τρίβους σου δίδαξον ἡμᾶς, νομοθέτησον ἡμᾶς ἐν τῇ ὁδῷ σου καὶ ὁδήγησον πάντας, τοὺς Ἄρχοντας καὶ τὸν Λαόν, ἐπὶ τὴν ἀλήθειάν σου, ὅτι πολλοὶ κυκλόθεν οἱ ἐχθροὶ ἡμῶν καὶ μακάριος ὁ λαός, οὗ ἔστι βοηθὸς Κύριος ὁ Θεὸς αὐτοῦ, Ἔτι δὲ καὶ ὑπὲρ τῶν ψυχῶν τῶν μαρτύρων ἀδελφῶν ἡμῶν δεόμεθά σου, τῶν τε ἐν πολέμῳ πεσόντων, τῶν τε ἀναιρεθέντων καὶ τῶν ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ τελειωθέντων, ἵνα αὐλισθῶσιν ἐν ἀγαθοῖς καὶ ἀναπαύσωνται μετὰ δικαίων καὶ ἵνα τὰ ὀστᾶ αὐτῶν ὡς βοτάνη ἀνατείλῃ, ὅπως ἂν οἵ τε ζῶντες καὶ οἱ ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένοι εὐχαριστήριον αἶνον καὶ δοξολογίαν σοὶ ἀναπέμπωμεν τῷ κραταιῷ Βασιλεῖ τῶν αἰώνων εἰς τοὺς αἰῶνας. Ἀμήν.

***Ἀπόλυσις***

**8-11, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α' Ἦχος β', ὁ α' χορὸς , Στίχ. α'.***

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,...

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ.***

**Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

***Ἀπολυτίκιον Ἦχος δ'***

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας΄ Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

***ὁ β' χορός, Στίχ.*** **Ε**ὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεὸς μου ἐμεγαλύνθης σφόδρα. **Τ**ῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι...

***Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος δ',*** **Τ**ῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, …

**ὁ β' χορός ,Τοῦ <u>Ναοῦ</u>,**

***ὁ α' χορός, Κοντάκιον, <u>[από 8 έως 25-11, πλήν της 20-11),</u> Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνευματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**<u>Τρισάγιον</u>.*Ὁ Ἀπόστολος,Τῶν Ἀσωμάτων (Ἑβρ. β΄ 2-10).Προκείμενον ἦχος δ'***

**Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

***Στίχ.*** **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, εἰ ὁ δι΄ ἀγγέλων λαληθεὶς λόγος …

***…Κοινωνικὸν , ὁ β' χορός, ἦχος α',*** **Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα.

**9-11, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ἦχος β' ὁ α' χορὸς, Στίχ. α'.***

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ.***

**Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

***Ἀπολυτίκιον Ἦχος α'***

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζεις γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι, δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

***ὁ β' χορὸς, Στίχ.***

**Οἱ** ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον...

***Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον ἦχος α'***

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον…

***ὁ β' χορὸς , Ἀπολυτίκιον ἦχος δ' , Ταχὺ προκατάλαβε***

**Ὁ**σίως ἐβίωσας, ὡς Ἱεράρχης σοφός, δοξάσας τὸν Κύριον, δι' ἐναρέτου ζωῆς, Νεκτάριε Ὅσιε. Ὅθεν τοῦ Παρακλήτου, δοξασθεὶς τῇ δυνάμει, δαίμονας ἀπελαύνεις, καὶ νοσοῦντας ἰᾶσαι, τοὺς πιστῶς προσιόντας, τοῖς θείοις λειψάνοις σου.

**ὁ α' χορός , Τοῦ Ναοῦ,**

***ὁ β' χορός,Κοντάκιον ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ **Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.**

***Τρισάγιον. Ἀπόστολος, Τοῦ Ἁγίου, Προκείμενον ἦχος βαρύς.***

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

***Στίχ.*** **Τ**ί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

**Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.** ***(Ἐφεσ. ε΄ 8-19).***

**Ἀ**δελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε …

***…Κοινωνικὸν,*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

**6-12**, ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', ἦχος β', ὁ α' χορὸς ,Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, ,,,

***Ἀντίφωνον Γ', ὁ α' χορός,*** **Στίχ.**

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

***ἀπολυτίκιον, ἦχος δ'***

Κανόνα πίστεως καὶ εἰκόνα πρᾳότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων

ἀλήθεια, διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***ὁ β' χορός, Στίχ.*** **Ο**ἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοι σου ἀγαλλιάσει ἀγαλλιάσονται. **Κ**ανόνα πίστεως...

***Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός,***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος δ'.***

**Κ**ανόνα πίστεως καὶ εἰκόνα πραότητος, …

***ὁ β' χορός,*** **Τοῦ <u>Ναοῦ</u>**

***ὁ α' χορός,Κοντάκιον Προεόρτιον Ἦχος γ'***

**Ἡ** Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως, Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

**<u>Τρισάγιον</u>**,

***Ἀπόστολος, Τοῦ Ἁγίου· (Ἑβρ. ιγ΄ 17-21). Προκείμενον ἦχος βαρύς.***

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

***Στίχ.*** **Τ**ί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, …

***…β' χορός, Κοινωνικὸν,*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**24 ΔΕΚΕΜΒΡΙΟΥ,** ***ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ, Εἰ τύχοι ἡ Ἑορτὴ ἐν ἡμέρᾳ Κυριακῇ ἢ Δευτέρᾳ (ΚΑΙ Η Α΄ ΠΕΡΙΠΤΩΣΙΣ).***

*Εὐλογήσαντος τοῦ Ἱερέως* ***<u>(ὁταν ακολουθήσει Μ. Βασίλειος, " Ευλογημένη η Βασιλεία...",</u>***

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. ***Ψαλμὸς 103,*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,

ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά· ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα· ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν· ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα

αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας. Δόξα... Καὶ νῦν… Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ'). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

***Ι. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν...ὁ α' χορός Ἦχος β' Ψαλμὸς ρμ' (140)***

**Ἀ**μήν. **Κ**ύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.

***ὁ β' χορός,*** **Κ**ατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.

***ὁ α' χορός, Στίχ.*** **Ἐ**ὰν ἀνομίας παρατηρήσης, Κύριε, Κύριε τὶς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστιν. ***Ἰδιόμελα Ἦχος β', Γερμανοῦ***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι, τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι, καὶ τὰ Χερουβὶμ παραχωρεῖ τοῦ ξύλου τῆς ζωῆς, κἀγὼ τοῦ παραδείσου τῆς τρυφῆς μεταλαμβάνω, οὗ προεξεβλήθην διὰ τῆς παρακοῆς. Ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρός, ὁ χαρακτὴρ τῆς ἀϊδιότητος αὐτοῦ, μορφὴν δούλου λαμβάνει, ἐξ ἀπειρογάμου Μητρὸς προελθών, οὐ τροπὴν ὑπομείνας΄ ὃ γὰρ ἦν διέμεινε, Θεὸς ὢν ἀληθινός΄ καὶ ὃ οὐκ ἦν προσέλαβεν, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν, αὐτῷ βοήσωμεν΄ ὁ τεχθεὶς ἐκ Παρθένου Θεός, ἐλέησον ἡμᾶς.

***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ...
***ὁ α' χορός, ἦχος ὁ αὐτὸς , Στίχ.*** **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. ***Ἀνατολίου***
**Τ**οῦ Κυρίου Ἰησοῦ γεννηθέντος ἐκ τῆς ἁγίας Παρθένου, πεφώτισται τὰ σύμπαντα, Ποιμένων γὰρ ἀγραυλούντων, καὶ Μάγων προσκυνούντων, Ἀγγέλων ἀνυμνούντων, Ἡρῴδης ἐταράττετο, ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη, Σωτὴρ τῶν ψυχῶν ἡμῶν.
***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** Ὅτι **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις' καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.
**Τ**οῦ Κυρίου Ἰησοῦ γεννηθέντος...
***ὁ α' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** **Α**ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. **Ἡ Βασιλεία σου,** Χριστὲ ὁ Θεός, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ Δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Ὁ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας ἐνανθρωπήσας, φῶς ἡμῖν ἔλαμψας, Χριστὲ ὁ Θεός, τῇ σῇ παρουσίᾳ, φῶς ἐκ φωτός, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, πᾶσαν κτίσιν ἐφαίδρυνας, Πᾶσα πνοὴ αἰνεῖ σε, τὸν χαρακτῆρα τῆς δόξης τοῦ Πατρός. Ὁ ὢν καὶ προών, καὶ ἐκλάμψας ἐκ Παρθένου Θεός, ἐλέησον ἡμᾶς.
***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** Ὅτι **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.
**Τί σοι προσενέγκωμεν** Χριστέ, ὅτι ὤφθης ἐπὶ γῆς ὡς ἄνθρωπος δι' ἡμᾶς; ἕκαστον γὰρ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, τὴν εὐχαριστίαν σοι προσάγει΄ οἱ Ἄγγελοι τὸν ὕμνον, οἱ οὐρανοὶ τὸν Ἀστέρα, οἱ Μάγοι τὰ δῶρα, οἱ Ποιμένες τὸ θαῦμα, ἡ γῆ τὸ σπήλαιον, ἡ ἔρημος τὴν φάτνην΄ ἡμεῖς δὲ Μητέρα Παρθένον, ὁ πρὸ αἰώνων Θεὸς ἐλέησον ἡμᾶς.
***ὁ α' χορὸς,*** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ***ὁ α' χορὸς, Ἦχος ὁ αὐτὸς, Κασσίας***
**Α**ὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο, καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς

Ἀγνῆς, ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται. Ὑπὸ μίαν βασιλείαν ἐγκόσμιον, αἱ πόλεις γεγένηνται, καὶ εἰς μίαν Δεσποτείαν Θεότητος, τὰ Ἔθνη ἐπίστευσαν. Ἀπεγράφησαν οἱ λαοί, τῷ δόγματι τοῦ Καίσαρος΄ ἐπεγράφημεν οἱ πιστοί, ὀνόματι θεότητος, σοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ἡμῶν, Μέγα σου τὸ ἔλεος, δόξα σοι.

***Εἴσοδος (μετά Ευαγγελίου), ὁ διάκονος:, Σοφία Ὀρθοί !*** **Φ**ῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος σὲ δοξάζει.

***ὁ διάκονος: Ἑσπέρας ! Α΄ , ὁ Ἀναγνώστης: Γενέσεως τὸ Ἀνάγνωσμα, ὁ διάκονος: Σοφία, πρόσχωμεν! , (Κεφ. 1, 1-13), ὁ Ἀναγνώστης:,*** **Ἐ**ν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος καὶ εἶπεν ὁ Θεὸς γενηθήτω φῶς καὶ ἐγένετο φῶς καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλὸν καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσεν νύκτα καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα μία .καὶ εἶπεν ὁ Θεὸς΄ γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος΄ καὶ ἐγένετο οὕτως .καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω τοῦ στερεώματος καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος .καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανὸν καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα δευτέρα .καὶ εἶπεν ὁ Θεὸς συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρὰ καὶ ἐγένετο οὕτω΄ καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν καὶ ὤφθη ἡ ξηρὰ .καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσεν θαλάσσας΄ καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν΄ .καὶ εἶπεν ὁ Θεὸς βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ ἐγένετο οὕτως΄ .καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην

χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν΄ .Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα τρίτη.

***Εἶτα ἀνιστάμενοι λέγομεν, ὁ α΄ χορὸς, Τροπάριον Ἦχος πλ.β'***

**Λ**αθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον, ἀλλ' οὐρανός σε πᾶσιν ἐκήρυξεν, ὥσπερ στόμα, τὸν Ἀστέρα προβαλλόμενος Σωτήρ. Καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε΄ μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος α'.*** **Ο**ἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

***ὁ β΄ χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος β'.*** Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ Πόλις τοῦ Θεοῦ, μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος, τοῖς γινώσκουσί με.

***ὁ α΄ χορὸς,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος γ'.*** Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων.

***ὁ β΄ χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

**ὁ Ἀναγνώστης: Στίχος δ'.** Οὗτοι ἐγεννήθησαν ἐκεῖ, Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.

***ὁ α΄ χορὸς,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος ε'.*** Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ Ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ΄ Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

***ὁ β΄ χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης:*** **Δόξα Πατρὶ... Καὶ νῦν...** ***ὁ α΄ χορὸς***

**Λ**αθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον, ἀλλ' οὐρανὸς σε πᾶσιν ἐκήρυξεν, ὥσπερ στόμα, τὸν Ἀστέρα προβαλλόμενος Σωτήρ. Καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

Ζ' Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, (***Κεφ, 9, 6-7)***

**Π**αιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας εἰρήνην καὶ ὑγίειαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον ἐπὶ τὸν θρόνον Δαυῒδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

***ὁ β' χορός,* Τροπάριον Ἦχος πλ. β'**

**Ἀ**νέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς Δικαιοσύνης, καὶ Ἀστὴρ σε ὑπέδειξεν, ἐν Σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον. Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος α'.* Ὁ** Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

***ὁ α' χορὸς ,* Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος β'*. Κ**αὶ γὰρ ἑστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.

***ὁ β' χορός,* Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος γ'.* Ἐ**πῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

***ὁ α' χορὸς,* Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος δ'.* Θ**αυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος, τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.

***ὁ β' χορός,* Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος ε'.* Τ**ῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

***ὁ α' χορὸς ,* Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης:*** **Δόξα Πατρὶ... Καὶ νῦν... *ὁ β' χορός,*** **Ἀ**νέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς Δικαιοσύνης, καὶ Ἀστὴρ σε ὑπέδειξεν, ἐν Σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον. Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

**Η'** Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, ***(Κεφ. 7, 10-16, & 8, 1-4, 8-10).*** **Π**ροσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω οὐδ' οὐ μὴ πειράσω Κύριον. Καὶ εἶπεν(Ἡσαΐας). Ἀκούσατε δὴ οἶκος Δαυΐδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ. Βούτυρον καὶ μέλι φάγεται πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκλέξεται τὸ ἀγαθὸν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθὸν, καὶ καταληφθήσεται ἡ γῆ , ἣν σοὶ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων. Καὶ εἶπεν Κύριος πρός με· λάβε σεαυτῷ τόμον καινοῦ μ εγάλου καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου· τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστιν γὰρ. Καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱὸν· καὶ εἶπεν Κύριός μοι· κάλεσον τὸ ὄνομα αὐτοῦ. Ταχέως σκύλευσον, ὀξέως προνόμευσον· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. Καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι, καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου· Μεθ' ἡμῶν ὁ Θεὸς. Γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς· ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. Καὶ ἢν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει Κύριος καὶ λόγον ὃν ἐὰν εἴπητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς.

***Εἶτα ὁ Ἀναγνώστης τὸ Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος α'.***

**……**

**[ ΟΤΑΝ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ «ΠΕΣΟΥΝ» ΑΠΟ ΤΡΙΤΗ ΜΕΧΡΙ ΣΑΒΒΑΤΟ, "ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΗΘΩΜΕΝ". ΟΤΙ ΑΓΙΟΣ ΕΙ Ο ΘΕΟΣ ΗΜΩΝ…ΤΡΙΣΑΓΙΟΝ…Μ. Βασίλειος]**

**……..**

**Κ**ύριος εἶπε πρὸς με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

***Στίχ.* Α**ἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα **(*Κεφ. 1, 1-14 & 2, 1-3)***

**Π**ολυμερῶς καὶ πολυτρόπως …

***Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν***

**……**

**[ *ΟΤΑΝ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ ΔΕΝ «ΠΕΣΟΥΝ» ΚΥΡΙΑΚΗ Ἡ ΔΕΥΤΕΡΑ ΑΚΟΛΟΥΘΕΙ Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ…Εἰς τό· Ἐξαιρέτως …τὸ Μέγα Μεγαλυνάριον , Ἐμμελής ἀπαγγελία εἰς τὸ κλιτὸν ὑπὸ τοῦ Ἀναγνώστου***

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α' χορός, Ἦχος α' ἐκ τοῦ Κε.*** Τὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι. ***κοινωνικόν*: αινειτε τον Κύριον εκ των ουρανων, αλληλούια…Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν…]**

**Σάββατον, 24-12, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν - ἡ καθημερινων), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.**

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, ,,,

***Ἀντίφωνον Γ', ὁ α' χορός,Στίχ***.

**Ὁ** Θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

**Ἀπολυτίκιον, Προεόρτιον**, **Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ**

**Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. Ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον τὸ

Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.
**ὁ β' χορός,Στίχ.**
**Κ**ύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην κατενόησα τὰ ἔργα σου.
**Ἀ**πεγράφετο ποτέ...
***Εἰσοδικὸνὁ α' χορός****(ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)* **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ,σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...**ὁ β' χορὸς**...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
**ὁ α' χορός,** (ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)
**Ἀπολυτίκιον, Προεόρτιον**, **Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ**
**Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ,...
**ὁ β' χορὸς**, **Τῆς Ἁγίας** , **Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον**.
**Τ**ὴν εὐγένειαν ἔργοις καὶ λόγοις δείξασα, τῆς σῆς ψυχῆς φερωνύμως, χαριεστάτη ἀμνάς, τοῦ Κυρίου, Εὐγενία καλλιπάρθενε, ὁσιομάρτυς ἀγλαή, ἡ κοσμήσασα σαυτὴν ἀσκήσει καὶ μαρτυρίῳ, Χριστὸν ἡμῖν καταπέμψαι ἀεὶ δυσώπει θεῖον ἔλεος.
**ὁ α' χορός**, **Τοῦ <u>Ναοῦ</u>**,
***ὁ β' χορόςΚοντάκιον Προεόρτιον Ἦχος γ'***
**Ἡ** Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, **τὸν πρὸ αἰώνων Θεόν.**
**Τρισάγιον.**, **Ἀπόστολος**, **ΣΑΒΒΑΤΟΝ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ**, **Προκείμενον. Ἦχος πλ. β΄**
**Ε**ὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.
**Στίχ. Μ**ακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.
**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ΄Ανάγνωσμα** (Γ΄:8-12)
**Ἀ**δελφοί, προϊδοῦσα ἡ γραφὴ …
**Ἀ**λληλούϊα **(γ')**
**Εὐαγγέλιον** ,**Τῷ Σαββάτῳ πρὸ τῶν Χριστουγέννων**
**Ἐκ τοῦ κατὰ Λουκᾶν( ιγ΄19-29)**
**…ὁ α' χορὸς**
**Δ**όξα σοι, Κύριε, δόξα σοι.
***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου***

**…Κοινωνικὸν**
**Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα.

**5-1** ***(εκτός Κυριακης και Δευτέρας τα Θεοφάνεια) Μετά τον Ὄρθρο, τις Ωρες, ο Εσπερινός και η Θεία Λειτουργία του Μ. Βασιλείου***
… Καὶ κατέβη Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.
***ὁ διάκονος:*** **Τ**οῦ Κυρίου δεηθῶμεν. ***ὁ α' χορὸς,*** **Κ**ύριε ἐλέησον. ***ὁ ἱερεύς:*** **Ὅ**τι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν…
***καὶ ψάλλομεν τὸν <u>Τρισάγιον</u> ὕμνον, καὶ ὁ Ἀπόστολος. Προκείμενον Ἦχος γ'***
**Κ**ύριος φωτισμός μου καὶ Σωτήρ μου.
**Στίχ. Κ**ύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.
Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου ***(Κεφ. 9, 19-27)***
**Ἀ**δελφοί, ἐλεύθερος ὢν ἐκ πάντων, …
***… Καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.*** **Εἰς τό, Ἐξαιρέτως τὸ Μέγα Μεγαλυνάριον**, **Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν**
**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α' χορός. Ἦχος α' ἐκ τοῦ Κε.*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.
***…ὁ β' χορός,Κοινωνικὸν,ἦχος β'***
**Α**ἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. **Ἀ**λληλούϊα.
Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχήν καὶ τὸ «**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον…**», ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ,…

***Ο ΧΟΡΟΣ ΤΗΝ ΩΡΑ ΤΟΥ ΚΟΙΝΩΝΙΚΟΥ, ΣΤΑΣΙΣ ΠΡΩΤΗ, Ἀπὸ Ψαλμὸν 118. Ἦχος πλ. β΄.***
<u>Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα.</u> Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀλληλούϊα.

***ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ, Ἦχος πλ. α΄.***

Αἱ χεῖρες σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με, Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με, Κύριε.

Σός εἰμι ἐγώ, σῶσον με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με, Κύριε.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι΄ ἀντάμειψιν. Ἐλέησόν με, Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐλέησόν με, Κύριε, Κύριε.

***ΣΤΑΣΙΣ ΤΡΙΤΗ, Ἦχος πλ. δ΄.***

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ΄ ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμα σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλον *(τὴν δούλην, τοὺς δούλους σου, τὰς δούλας σου)* σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

**…**……

***Ἀκολουθία τοῦ Μνημοσύνου εἰς κεκοιμημένους***

***{ΜΕΤΑ ΤΗΝ ΑΠΟΛΥΣΙ ΤΗΣ Θ. ΛΕΙΤΟΥΓΙΑΣ.Ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ἀναγνώστης·*** Ἀμήν. **Τρισάγιον**. Δόξα... Καὶ νῦν... Παναγία Τριάς... Κύριε, ἐλέησον ***(γ΄).*** Δόξα... Καὶ νῦν... Πάτερ ἡμῶν... Ὅτι Σοῦ ἐστιν…}

……

**ΕΥΛΟΓΗΤΑΡΙΑ (ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΤΑ ΤΟ «ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…» )**

***Ἦχος πλ. α΄.***

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν Παραδείσου, εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

***[(για κεκοιμημένους ιερεις),*** *Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

*Οἱ τὸν Ἀμνόν, τοῦ Θεοῦ κυρήξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, Ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες, αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασαθαι.*

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

*Οἱ τὴν ὁδόν, τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν Σταυρόν, ὡς ζυγὸν ἁράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν, βραβεῖα καὶ στέφη τὰ οὐράνια.]*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μέν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ΄ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεὸς *[τὸν δοῦλόν σου, τὴν δούλην σου, τοὺς δούλους σου,]* καὶ κατάταξον *[αὐτὸν, αὐτὴν, αὐτοὺς]* ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· *[τὸν κεκοιμημένον δοῦλον, τὴν κεκοιμημένην δούλην, τοὺς κεκοιμημένους δούλους σου]* ἀνάπαυσον, παρορῶν *[αὐτοῦ, αὐτῆς, αὐτῶν]* πάντα τὰ ἐγκλήματα.

Δόξα... Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν... Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι΄ ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὔροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός ***(γ΄).*** (καὶ ανάπαυσον τὸν δοῦλον σου- *τὴν δούλην σου, τοὺς δούλους σου)*

……

***ΙΔΙΟΜΕΛΑ, Ἦχος πλ. δ΄. (Ο ΙΕΡΕΥΣ ΘΥΜΙΑΖΩΝ ή ο ψάλτης)***

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου· ἔνθα οὐκ ἐστὶ πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.}

**Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ**

……..

***[Ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***Ἀναγνώστης·*** Ἀμήν**. Τρισάγιον.** Δόξα... Καὶ νῦν... Παναγία Τριάς... Κύριε, ἐλέησον ***(γ΄).*** Δόξα... Καὶ νῦν... Πάτερ ἡμῶν... Ὅτι Σοῦ ἐστιν...**]**

***……***

***Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.***

***(ΜΝΗΜΟΣΥΝΟ ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ, ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ...)***

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (*αὐτὰς*) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα...Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς ῞Αδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν... Ἡ μόνη ἀγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου.

**……**

***στην Διακαινήσιμο εβδομάδα:*** Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος.***(3)*** Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

**……**

***Ἱερεύς (Δ)·*** Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου,.... ***Χ.*** Κύριε, ἐλέησον.....***Δι΄ ἄνδραν·*** Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν *(γ΄).*

**(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ)** Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη ***(γ΄).*** (Τοῦ Κυρίου δεηθῶμεν. ***ΑΠΟΛΥΣΙΣ Θ. ΛΕΙΤΟΥΡΓΙΑΣ)*** ***Ἱερεύς***: Δι΄εὐχῶν...***Ἀναγνώστης·*** Ἀμήν. **(*στην Διακαινήσιμο εβδομάδα:*1.** Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. ***Χ.*** Αληθως ανέστη ο Κύριος ).

**ΕΥΧΗ ΕΙΣ ΠΛΑΚΟΥΝΤΑ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ.** ***Δέησις ὑπὸ τοῦ Ἱερέως:***

**Ἐ**λέησον ἡμᾶς ὁ Θεός…

**῎Ε**τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν…

**῎Ε**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, ἀντιλήψεως, θείας βοηθείας καὶ μακροημερεύσεως τῶν

δούλων τοῦ Θεοῦ τῶν προσφερόντων τὰ δῶρα ταῦτα ***(δείνων ἤτοι, κατ᾽ ὄνομα μνημόνευσις).***
***ὁ Ἱερεὺς ἀναγινώσκει τὴν Εὐχήν. …***

……..

***Εὐχὴ εἰς πίτταν τοῦ Ἁγίου Φανουρίου***

**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Μάρτυρά Σου Φανούριον, τὸν ἐν Ρόδῳ Νεοφανῆ, χαριτώσας καὶ διὰ πολλῶν θαυμάτων τὴν πρὸς Σὲ εὐαρέστησιν αὐτοῦ πιστοποιήσας,

**Σ**οῦ δεόμεθα, Δέσποτα, ταῖς αὐτοῦ πρεσβείαις, πλήρωσον τὰ αἰτήματα τῶν καρδιῶν, τῶν πιστῶν δούλων Σου, τῶν προσφερόντων Σοι τὰ δῶρα ταῦτα (***δείνων***) ὑγείας, ἐνισχύσεως, ὑπερβάσεως πάντων τῶν δυσχερῶν εἰς προκοπὴν καὶ χαρὰν αὐτῶν.

**Φ**ανέρωσον, δι᾽ εὐχῆς τοῦ Μεγαλομάρτυρος πᾶν κεκρυμένον ἢ ἀπωλεσθὲν ἐπιθυμητὸν ἀγαθόν, φανέρωσον πρόσωπον ποθητόν, φανέρωσον ὁδὸν ἀγαθήν, ἐν ᾗ δεῖ πορευθῆναι αὐτοὺς ἀσφαλῶς, φανέρωσον πᾶσαν ἐν τῷ μέλλοντι χαράν, φανέρωσον τὸ ἔκπαγλον καὶ θεῖον Πρόσωπόν Σου, χαρμοσύνως καὶ κατανυκτικῶς, καταλαμπρύνον καὶ κατευφραῖνον τὴν ζωήν αὐτῶν.

**Ὅ**τι Σὺ εἶ ἡ ζωὴ καὶ τὸ Φῶς, τὸ φανερωθὲν ἐν τῷ κόσμῳ, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

……..

**[Ἑτέρα Εὐχὴ εἰς πίτταν Ἁγίου Φανουρίου. Ἀναγινωσκομένη κατὰ τὴν ἑορτὴν αὐτοῦ, ΚΖ᾽ Αὐγούστου. ὑπὸ πΘ συντεθεῖσα τῇ 27.8.06**

**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Μάρτυρά Σου Φανούριον, τὸν ἐν Ρόδῳ Νεοφανῆ, χαριτώσας καὶ διὰ πολλῶν θαυμάτων τὴν πρός Σε εὐαρέστησιν αὐτοῦ πιστοποιήσας,

**Σ**ὲ ὑμνοῦμεν καὶ δοξάζομεν ὑπὲρ πάντων τούτων τῶν θαυμασίων Σου καὶ ὑπὲρ τοῦ ὅτι οὐκ ἀφύλακτον ἢ ἀπρονόητον καὶ ἀσυμπαραστάτητον τὴν ζωὴν ἡμῶν εἴασας.

**Δ**ιὸ δεόμεθά Σου Δέσποτα, ταῖς αὐτοῦ πρεσβείαις, ἐπὶ τῇ ἐπισήμῳ ταύτῃ καὶ λαμπρᾷ πανηγύρει καὶ χαρμοσύνῳ μνήμῃ τῆς τελειώσεως αὐτοῦ, πλήρωσον τὰ αἰτήματα τῶν καρδιῶν, ἡμῶν, τῶν πιστῶν δούλων Σου, ἐξαιρέτως δὲ τῶν

πανηγυριζόντων ἀδελφῶν ἡμῶν, τῶν προσφερόντων τοὺς πλακοῦντας καὶ ἐγκρυφίας τούτους (δείνων). Ἔμπλησον τὰς καρδίας αὐτῶν πίστεως καὶ ἀγάπης, τῆς ἄνωθεν εἰρήνης καὶ τοῦ Σοῦ ἁγιασμοῦ. Δώρησαι πᾶν ἀγαθὸν δώρημα τέλειον εἰς τὴν ψυχὴν καὶ τὴν ζωὴν αὐτῶν, ἀγαλλίασιν οὐράνιον, σύνεσιν καὶ σοφίαν πνευματικήν, ἀπαλλαγὴν ἀπὸ παντὸς πειρασμοῦ καὶ πάσης θλίψεως, οἰκογενειακὴν ἀποκατάστασιν ἐν ἑκτενῇ ὁμονοίᾳ, εὐσεβείᾳ καὶ εἰλικρινείᾳ, τὴν αὐτάρκειαν τῶν ἐπιουσίων ἀγαθῶν, ὑγείαν ἀκλόνητον καὶ θαλλεράν, ἀκμὴν ψυχῆς τε καὶ σώματος, καὶ εἴ τι δὲ ἄλλο ἡ θεοφιλὴς αὐτῶν καρδία ἐπιποθεῖ καὶ αἰτεῖται παρὰ Σοῦ, τοῦ Μόνου Δωρεοδότου. **Φ**ανέρωσον, δι᾽εὐχῆς τοῦ Μεγαλομάρτυρος πᾶν κεκρυμένον ἢ ἀπωλεσθὲν ἐπιθυμητὸν ἀγαθόν, φανέρωσον πρόσωπον ποθητόν, φανέρωσον πᾶσαν ἐν τῷ μέλλοντι χαράν**,** φανέρωσον παγίδας τοῦ ἐχθροῦ, ἵνα ἐγκαίρως προστατευθῶσι καὶ ἀποσοβήσωσι βλάβην τινά, φανέρωσον αὐτοῖς ὁδοὺς εἰς σωτηρίαν, φανέρωσον τὸ Πρόσωπόν Σου, τὸ ἐν Φωτὶ Ἀκτίστῳ, χαρμοσύνως καὶ κατανυκτικῶς, ἐν εὐνοίᾳ καὶ Χάριτι, καταφωτίζον καὶ κατευφραῖνον καὶ καταλαμπρύνον τὴν ζωὴν αὐτῶν.

**Ὅ**τι Σὺ εἶ ἡ ζωὴ καὶ τὸ Φῶς, τὸ φανερωθὲν ἐν τῷ κόσμῳ καὶ τὴν Ἀλήθειαν καὶ τὴν Δόξαν φανερῶσαν ἐν ἡμῖν, καὶ Σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν καὶ τὴν προσκύνησιν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

……...

***Εἶτα κατακόπτει σταυροειδῶς τὸν πλακοῦντα, ἐπιλέγων·***

**Μ**έγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος.

**Ε**ἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

**Ε**ἰς βοήθειαν καὶ ἀντίληψιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν μνημονευθέντων καὶ προσενεγκάντων τὰ δῶρα ταῦτα καὶ εἰς ἐκπλήρωσιν τῶν αἰτημάτων τῶν καρδιῶν αὐτῶν.

**Ε**ἰς ὑγείαν ψυχῆς καὶ σώματος καὶ εἰς πλησμονὴν παντὸς ἀγαθοῦ.

***Οἱ δὲ χοροὶ σὺν τῷ λαῷ ψάλλουσιν.*** **ΑΠΟΛΥΤΙΚΙΑ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ.** ***Ἦχος δ΄. Ταχὺ προκατάλαβε.***

**Ο**ὐράνιον ἐφύμνιον ἐν γῇ τελεῖται λαμπρῶς. Ἐπίγειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς Ἀγγέλων πολίτευμα.

Ἄνωθεν ὑμνωδίαις εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία τὴν οὐράνιον δόξαν, ἣν εὗρες πόνοις καὶ ἄθλοις τοῖς σοῖς, Φανούριε ἔνδοξε.

**Ὡ**ς ἄστρον ἀνέτειλας τῇ Ἐκκλησίᾳ Χριστοῦ καὶ πάντας κατηύγασας φανερωθεὶς θαυμαστῶς, Φανούριε ἔνδοξε. Ὅθεν τοῖς εὐφημοῦσι τὴν σὴν ἄθλησιν, Μάρτυς, νέμεις τῶν σῶν θαυμάτων τὴν σωτήριον χάριν, πρεσβεύων τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***

**Ἱ**ερεῖς διέσωσας αἰχμαλωσίας ἀθέου καὶ δεσμὰ συνέθλασας δυνάμει θείᾳ θεόφρον, ᾗσχυνας τυράννων θράση γενναιοφρόνως, ηὔφρανας Ἀγγέλων τάξεις, Μεγαλομάρτυς. Διὰ τοῦτό σε τιμῶμεν, θεῖε ὁπλῖτα, Φανούριε ἔνδοξε.

**Δ**ι΄ εὐχῶν… ***Οἱ δὲ πανηγυρισταὶ διανέμουσι τὴν πίτταν εἰς τὸ ἐκκλησίασμα.***

**Κόλλυβα αγίων** ***(δεν προσφέρουμε για τον Χριστό, τους Αρχαγγέλους και τον Προφήτη Ηλία).<u>Γενικῶς ἐπί ἑορταζομένων ἁγίων:</u>***

***Πληρωθείσης τῆς ὀπισθαμβώνου εὐχῆς, ψάλλει ὁ δεξιός χορός τό ἀπολυτίκιον τοῦ ἁγίου, ὁ ἀριστερός*** «Δόξα…» ***τό κοντάκιον αὐτοῦ καί ὁ δεξιός*** «Καὶ νῦν… Τῇ πρεσβείᾳ, Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων» ***εἰς α΄ ἦχον. <u>Σημ.:</u> Ἑορτάζοντος καί ἑτέρου ἁγίου, στό*** «Δόξα…» ***λέγεται τό κοντάκιον τοῦ ἑτέρου ἁγίου. Ἐάν τύχῃ τό κοντάκιον νά ἀναφέρῃ τήν Θεοτόκον, καταλιμπάνεται τό*** **«**Τῇ πρεσβείᾳ, Κύριε…».

***Εἰς τάς ἀγρυπνίας τοῦ προφήτου Ἠλιοῦ καί τῶν Ἀρχαγγέλων οὐ γίνονται κόλλυβα. Τό ὅμοιον καί εἰς τό Γενέθλιον τοῦ Προδρόμου καί τῆς Θεοτόκου καί τά Εἰσόδια αὐτῆς καί τήν Ὑπαπαντήν. Εἴς τινας Μονάς προτίθενται κόλλυβα τῆς Θεοτόκου μόνον εἰς τήν Κοίμησιν.***

«Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρπούς εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν, ὁ τοῖς σπέρμασι τοὺς Τρεῖς Παῖδας καὶ Δανιὴλ τῶν ἐν Βαβυλῶνι ἀβροδιαίτων λαμπροτέρους ἀναδείξας, αὐτός, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον καὶ τοὺς ἐξ αὐτῶν

μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον· ὅτι εἰς δόξαν σήν, Κύριε, καὶ εἰς τιμήν καὶ μνήμην τοῦ ἁγίου *καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος,* ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων. Παράσχου δὲ ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι,πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου *καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος,* οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»

**……**

***Ευχή επί κολλύβων***

Ο Θεός ο Παντοκράτωρ, ο ποιήσας τον ουρανόν και την γην, την θάλασσα και πάντα τα εν αυτοίς, ο ευλογήσας τους πέντε άρτους εν τη ερήμω και εξ αυτών πεντακισχιλίους άνδρας χορτάσας, αυτός ευλόγησον και τους καρπούς τούτους και τους μεταλαμβάνοντας εξ αυτών επί υγεία και σωτηρία των ψυχών και των σωμάτων αυτών και τοις προσενέγκασι μισθόν ουράνιον παράσχου, πρεσβείες *της Αχράντου Δεσποίνης ημών Θεοτόκου και Αειπαρθένου Μαρίας είς την Κοίμησην και την Ιεράν Μετάστασην Αυτής εις τους ουρανούς* εορτάζομεν **!**

*Ότι ηυλόγηται και δεδόξασται το πάντιμον και μεγαλοπρεπές όνομά σου, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν*

**……**

***π. Γ. Θ.  https://www.youtube.com/user/KERMENI  (βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ)***